22 σιν; Εὐφήμει, ὦ οὗτος, τοιαῦτα λαλῶν. παραγίνομαι αὐ-
τὸς ἐγὼ ὁ νοῦς τοῖς ὁσίοις καὶ ἀγαθοῖς καὶ καθαροῖς

1. 2. ἄρδεται Patr. 3. 4. ὁ ἐννοήσας ἑαυτὸν] sic Patr. ἐνόησας σαυτὸν codd. 4. θεὸν] sic Patr. ἑαυτὸν A, αὐτὸ reliqui. || χωρεῖ] χωριεῖ A. || ἔφη] sic Patr. ἔχει reliqui. 6. εὐφήμει λαλῶν, φησί] sic B, εὖ φησί λαλῶν A Turn. Fluss. 7. φησί om. Patr. 8. ἑαυτὸν codd. 9. καὶ ὅτι — τυγχάνεις om. Patr. 10. χωρήσῃς B. 11. ἔφην ἐγώ om. A Patr., et ponunt infra post χωρήσω. 12. ἐμὸς erasum B. 14. εὐφήμει] sic B, εὐφήμι Patr., εὖ φησί reliqui. || τοιαῦτα om. A Patr. 14. 15. αὐτὸς] sic B, γὰρ Patr., om. reliqui. 15. ὁσίοις] ἰδίοις Vergic. Fluss.

humida natura, ex qua corpus est constitutum in sensibili mundo, ex quo mors derivatur.

Percepisti recte, o tu. sed quonam modo qui se ipsum intellexit, in deum transit, quod quidem dixit dei verbum? dico ego: Quoniam ex luce et vita constat pater universorum, ex quo natus est homo. Bona verba, inquit, lux et vita est deus et pater, ex quo natus est homo. si ergo didiceris te ipsum ex vita et luce constitutum, quodque ex his constes, in vitam rursus transibis. haec Poemander dixit. Sed adhuc, inquam, dic mihi, quomodo in vitam transibo, o mens? Meus dicit deus: mente praeditus homo agnoscat se ipsum. Nonne omnes, inquam, homines mentem habent? Bona verba, inquit, dicas,

*καὶ ἐλεήμοσι, τοῖς εὐσεβῶς βιοῦσι. καὶ ἡ παρουσία μου
γίνεται βοήθεια, καὶ εὐθὺς τὰ πάντα γνωρίζουσι καὶ
τὸν πατέρα ἱλάσκονται ἀγαπητικῶς, καὶ εὐχαριστοῦ-
σιν εὐλογοῦντες καὶ ὑμνοῦσι τεταγμένοι πρὸς αὐτὸν τῇ
στοργῇ· καὶ πρὸ τοῦ παραδοῦναι τὸ σῶμα ἰδίῳ θα-
νάτῳ μυσάττονται τὰς αἰσθήσεις εἰδότες αὐτῶν τὰ ἐνερ-
γήματα· μᾶλλον δὲ οὐκ ἐάσω αὐτὸς ὁ νοῦς τὰ προσπί-
πτοντα ἐνεργήματα τοῦ σώματος ἐκτελεσθῆναι· πυλωρὸς
γὰρ ὢν ἀποκλείσω τὰς εἰσόδους τῶν κακῶν καὶ αἰσχρῶν
ἐνεργημάτων τὰς ἐνθυμήσεις ἐκκόπτων. τοῖς δὲ ἀνοήτοις* 23
*καὶ κακοῖς καὶ πονηροῖς καὶ φθονεροῖς καὶ πλεονέκταις
καὶ φονεῦσι καὶ ἀσεβέσι πόρρωθέν εἰμι, τῷ τιμωρῷ ἐκχω-
ρήσας δαίμονι, ὅστις τὴν ὀξύτητα τοῦ πυρὸς προσβάλλων
θρώσκει αὐτοὺς αἰσθητικῶς, καὶ μᾶλλον ἐπὶ τὰς ἀνομίας
αὐτοὺς ὁπλίζει, ἵνα τύχωσι μείζονος τιμωρίας· καὶ οὐ
παύεται ἐπ' ὀρέξεις ἀπλέτους τὴν ἐπιθυμίαν αὐτῶν κινῶν*

1. *εὐσεβῶς βιοῦσι*] *εὐσεβοῦσι* AB. 2. *γίγνεται* A. 4. *ὑμνοῦσι*] sic A Patr., *ὑμνοῦντες* reliqui. || *τεταγμένοι*] sic Patr. *τεταγμένως* reliqui. 6. *μυσάττοντες* A, *μουσάσσοντες* Patr. 9. *γὰρ*] sic B, om. reliqui. 14. et 15. *αὐτὸν* (bis) et *τύχῃ* A Turn. Patr. 16. *ἀπλέτους*] *διεγείρων* marg. B. || *τὴν*] *καὶ τὴν* B. || *αὐτῶν κινῶν*] sic B, *ἔχων* A Turn. Patr., *ἀνέχων* Fluss.

o tu. advenio ego mens piis et bonis et puris et misericordibus, qui omnino religiose vivunt. et praesentia mea fit auxilium, et illico cuncta cognoscunt et patrem deprecantur amanter, et gratias agunt benedicentes et hymnos ipsi ordine prae amore canunt; et antequam tradant corpus propriae morti, odio habent sensus, cognoscentes ipsorum opera; sed potius non sinam ego mens opera quae corpori accidunt ad finem deduci; ianitor ego claudam ingressus malorum et turpium operum, cogitationes rescindens. stultis vero et malis et pravis et invidis et quaestuosis et occisoribus et impiis longe absum, vindici eos tradens daemoni, qui acumen ignis adhibens ferit eos sensibiliter, et magis ad scelera eos praeparat, ut consequantur maiorem poenam. et non cessat, quin ad inexplebiles cupidines desi-

ἀκορέστως ὡς ἐν σκοτομαχίᾳ· καὶ οὕτω βασανίζει, καὶ
ἐπ᾽ αὐτοὺς πῦρ ἐπὶ πλεῖον αὐξάνει.
24 Εὖ με πάντα, ἔφην, ὡς ἐβουλόμην, ἐδίδαξας, ὦ
νοῦς. ἔτι δέ μοι εἰπὲ περὶ τῆς ἀνόδου τῆς γινομένης.
Πρὸς ταῦτα ὁ Ποιμάνδρης εἶπε, Πρῶτον μὲν ἐν τῇ
ἀναλύσει τοῦ σώματος τοῦ ὑλικοῦ παραδίδωσιν αὐτὸ τὸ
σῶμα εἰς ἀλλοίωσιν, καὶ τὸ εἶδος, ὃ εἶχες, ἀφανὲς γίνε-
ται. καὶ τὸ ἦθος τῷ δαίμονι ἀνενέργητον παραδίδωσι,
καὶ αἱ αἰσθήσεις τοῦ σώματος εἰς τὰς ἑαυτῶν πηγὰς
ἐπανέρχονται μέρη γινόμεναι, καὶ πάλιν συνιστάμεναι εἰς
τὰς ἐνεργείας. καὶ ὁ θυμὸς καὶ ἡ ἐπιθυμία εἰς τὴν ἄλο-
25 γον φύσιν χωρεῖ. καὶ οὕτως ὁρμᾷ λοιπὸν ἄνω διὰ τῆς
ἁρμονίας, καὶ τῇ πρώτῃ ζώνῃ δίδωσι τὴν αὐξητικὴν ἐνέρ-
γειαν καὶ τὴν μειωτικήν, καὶ τῇ δευτέρᾳ τὴν μηχανὴν
τῶν κακῶν, καὶ τὸν δόλον ἀνενέργητον, καὶ τῇ τρίτῃ τὴν
ἐπιθυμητικὴν ἀπάτην ἀνενέργητον, καὶ τῇ τετάρτῃ τὴν ἀρ-

1. ὡς ἐν σκοτομαχίᾳ] σκοτομαχῶν A Turn. Patr. || οὕτω] sic marg. B, τοῦτον A Turn. Patr., τούτους Fluss. || ante βασανίζει Turn. et Fluss. addunt ἀφανίζει καὶ ἐπὶ πλέον. 2. αὐτοὺς] sic Fluss. αὐτόν reliqui. 3. με] μοι AB Turn. Patr. || ἔφην] sic B, om. reliqui. 4. περὶ om. A Patr. 5. πρὸς] μετὰ Patr. 6. παραδίδως B. 7. εἶχες] εἶχεν Patr. 9. αἱ om. Patr. 10. συνανιστάμεναι Vergic. Fluss. 12. καὶ om. Turn. 15. καὶ τὸν] sic Patr., om. reliqui. 16. ἀπάτην om. Patr.

derium eorum insaturabiliter elevet, veluti in tenebris pugnans. et ita cruciat, et in eos ignem etiam atque etiam adauget.

Optime cuncta, inquam, ut volui, me docuisti, o mens; sed etiam dic mihi de faciendo ascensu. dixit Poemander: Primo quidem in resolutione corporis materialis tradit corpus ipsum in alterationem, et forma quam habuisti, fit invisibilis. et morem daemoni inefficacem tradit, et sensus corporis in suos fontes redeunt partes facti, et rursus reficiuntur in actiones. et iracundia et concupiscentia in irrationalem naturam abit. atque ita denique impetum capit sursum per harmoniam, et primae zonae dat augmentatricem actionem et eam, quae est decrementi, et secundae machinationem malorum, et dolum inefficacem, et tertiae concupiscibilem deceptionem itidem

χοντικὴν ὑπερηφανίαν ἀπλεονέκτητον, καὶ τῇ πέμπτῃ τὸ θράσος τὸ ἀνόσιον καὶ τῆς τόλμης τὴν προπέτειαν, καὶ τῇ ἕκτῃ τὰς ἀφορμὰς τὰς κακὰς τοῦ πλούτου ἀνενεργήτους, καὶ τῇ ἑβδόμῃ ζώνῃ τὸ ἐνεδρεῦον ψεῦδος. καὶ τότε γυμ- 26
νωθεὶς ἀπὸ τῶν τῆς ἁρμονίας ἐνεργημάτων γίνεται ἐπὶ τὴν ὀγδοατικὴν φύσιν τὴν ἰδίαν δύναμιν ἔχων, καὶ ὑμνεῖ σὺν τοῖς οὖσι τὸν πατέρα. συγχαίρουσι δὲ οἱ παρόντες τῇ τούτου παρουσίᾳ, καὶ ὁμοιωθεὶς τοῖς συνοῦσιν ἀκούει καὶ τῶν δυνάμεων ὑπὲρ τὴν ὀγδοατικὴν φύσιν οὐσῶν φωνῇ τινὶ ἡδείᾳ ὑμνουσῶν τὸν θεόν. καὶ τότε τάξει ἀνέρχονται πρὸς τὸν πατέρα, καὶ αὐτοὶ εἰς δυνάμεις ἑαυτοὺς παραδιδόασι, καὶ δυνάμεις γενόμενοι ἐν θεῷ γίνονται. τοῦτό ἐστι τὸ ἀγαθὸν τέλος τοῖς γνῶσιν ἐσχηκόσι, θεωθῆναι. λοιπὸν τί μέλλεις; οὐχ ὡς πάντα παραλαβὼν καθοδηγὸς γίνῃ τοῖς ἀξίοις, ὅπως τὸ γένος τῆς ἀνθρωπότητος διὰ σοῦ ὑπὸ θεοῦ σωθῇ;

Ταῦτα εἰπὼν ἐμοὶ ὁ Ποιμάνδρης ἐμίγη ταῖς δυνάμε- 27

1. ὑπερηφανίαν] sic B, προφανίαν reliqui. 3. ἀνενέργητον A Patr. 8. τῇ om. Patr. 8.—11. συγχαίρουσι — πατέρα om. A. 9. τῶν] τινων B. 10. ἡδείᾳ] sic B, ἰδίᾳ reliqui. 12. παραδιδόασι] παραπέμπουσι B. || γινόμενοι Patr. 16 σοῦ ὑπὸ om. Patr.

inefficacem, et quartae dominandi superbiam effectu vacuam, et quintae audaciam impiam et audentiae temeritatem, et sextae occasiones malas divitiarum sine viribus, et septimae zonae insidians mendacium. et tunc nudatus ab harmoniae operibus, scandit ad octavam naturam, proprias habens vires, et laudat cum entibus patrem. et ei congratulantur qui sunt praesentes huius adventui, et similis factus praesentibus audit et potentias, quae super octavam naturam sunt, voce quadam suavi laudantes deum. et tunc ordine ascendunt ad patrem, et ipsi se ipsos in potentias tradunt, et potentiae facti in deo fiunt. hic est bonus finis iis qui cognitionem sunt adepti, deos fieri. denique quid moraris? nonne, ut omnia suscipiens ductor fias iis qui digni sunt, ut genus humanum per te a deo servetur?

Haec postquam mihi dixit Poemander, immiscuit se potentiis. ego vero gratias agens et benedicens patrem universorum surrexi,

σιν. ἐγὼ δὲ εὐχαριστήσας καὶ εὐλογήσας τὸν πατέρα τῶν ὅλων ἀνέστην ὑπ᾽ αὐτοῦ δυναμωθεὶς καὶ διδαχθεὶς τοῦ παντὸς τὴν φύσιν καὶ τὴν μεγίστην θέαν· καὶ ἦργμαι κηρύσσειν τοῖς ἀνθρώποις τὸ τῆς εὐσεβείας καὶ τὸ τῆς γνώσεως κάλλος. Ὦ λαοί, ἄνδρες γηγενεῖς, οἱ μέθῃ καὶ ὕπνῳ ἑαυτοὺς ἐκδεδωκότες καὶ τῇ ἀγνωσίᾳ τοῦ θεοῦ, νήψατε, παύσασθε κραιπαλῶντες, θελγόμενοι ὕπνῳ ἀλόγῳ.

28 Οἱ δὲ ἀκούσαντες παρεγένοντο ὁμοθυμαδόν. ἐγὼ δέ φημι, Τί ἑαυτούς, ὦ ἄνδρες γηγενεῖς, εἰς θάνατον ἐκδεδώκατε ἔχοντες ἐξουσίαν τῆς ἀθανασίας μεταλαβεῖν; μετανοήσατε οἱ συνοδεύσαντες τῇ πλάνῃ καὶ συγκοινωνήσαντες τῇ ἀγνοίᾳ, ἀπαλλάγητε τοῦ σκοτεινοῦ φωτός, μεταλάβετε τῆς ἀθανασίας καταλείψαντες τὴν φθοράν.

29 Καὶ οἱ μὲν αὐτῶν καταφλυαρήσαντες ἀπέστησαν τῇ τοῦ θανάτου ὁδῷ ἑαυτοὺς ἐκδεδωκότες, οἱ δὲ παρεκάλουν διδαχθῆναι, ἑαυτοὺς πρὸ ποδῶν μου ῥίψαντες. ἐγὼ δὲ ἀναστήσας αὐτοὺς καθοδηγὸς ἐγενόμην τοῦ γένους

2. ἀνέστην] ἀνείθην B, ἀνείθεν A. 5. τὸ τῆς] sic Patr., om. reliqui. || κάλλος] κλέος Turn. 12. πλάνῃ] σπάνῃ A. || συσκοτισθέντες Patr. 14. καταλείψετε Patr. 18. ἐγινόμην B.

ab eo roboratus et edoctus universi naturam et maximum illud spectaculum; et coepi alta voce nunciare hominibus pietatis et cognitionis pulchritudinem. O populi, viri terrigenae, qui vosmet ipsos ebrietati et somno dedidistis et ignorationi dei, sobrii estote, desinite crapulari, allecti somno irrationali.

Illi vero audientes accesserunt libenter. tunc aio: Curnam, o viri terrigenae, vosmet tradidistis in mortem, habentes potestatem immortalitatis fieri participes? resipiscite qui cum errore incessistis et communicastis cum ignorantia, discedite a tenebroso lumine, immortalitatis estote participes, deserite corruptionem.

At eorum aliqui illudentes discesserunt, in viam mortis sese tradentes, alii vero orabant ut edocerentur, ad pedes meos se proiicientes. ego vero illos surgere iubens, dux effectus sum generis humani, rationes docens qualiter et quomodo servari queant. et se-

τοῦ ἀνθρωπίνου, τοὺς λόγους διδάσκων, πῶς καὶ τίνι
τρόπῳ σωθήσονται. καὶ ἔσπειρα αὐτοῖς τοὺς τῆς σο-
φίας λόγους καὶ ἐτράφησαν ἐκ τοῦ ἀμβροσίου ὕδατος.
ὀψίας δὲ γενομένης καὶ τῆς τοῦ ἡλίου αὐγῆς ἀρχομένης
δύεσθαι ὅλης ἐκέλευσα αὐτοῖς εὐχαριστεῖν τῷ θεῷ. καὶ
ἀναπληρώσαντες τὴν εὐχαριστίαν ἕκαστος ἐτράπη εἰς τὴν
ἰδίαν κοίτην. ἐγὼ δὲ τὴν εὐεργεσίαν τοῦ Ποιμάνδρου 30
ἀνεγραψάμην εἰς ἐμαυτόν, καὶ πληρωθεὶς ὧν ἤθελον
ἐξηυφράνθην. ἐγένετο γὰρ ὁ τοῦ σώματος ὕπνος τῆς ψυ-
χῆς νῆψις, καὶ ἡ κάμμυσις τῶν ὀφθαλμῶν ἀληθινὴ ὅρα-
σις, καὶ ἡ σιωπή μου ἐγκύμων τοῦ ἀγαθοῦ, καὶ ἡ τοῦ
λόγου ἐκφορὰ γεννήματα ἀγαθῶν. τοῦτο δὲ συνέβη μοι
λαβόντι ἀπὸ τοῦ νοός μου, τοῦτ' ἔστι τοῦ Ποιμάνδρου
τοῦ τῆς αὐθεντίας λόγου, ὅθεν θεόπνους γενόμενος τῆς
ἀληθείας ἦλθον. διὸ δίδωμι ἐκ ψυχῆς καὶ ἰσχύος ὅλης
εὐλογίαν τῷ πατρὶ θεῷ.

Ἅγιος ὁ θεὸς ὁ πατὴρ τῶν ὅλων· ἅγιος ὁ θεός, οὗ 31
ἡ βουλὴ τελεῖται ἀπὸ τῶν ἰδίων δυνάμεων· ἅγιος ὁ θεός,

1. τοῦ ἀνθρωπίνου] sic Patr. om. reliqui. 2. 3. σοφίας] φιλοσοφίας B. 3. ἐτρόφησα Patr. 9. ἐξευφράθην A. 10. κάμμυσις] ἄμμυσις marg. B. 14. τοῦ om. Patr. || ὅθεν] sic Fluss. om. reliqui. || γενόμενος] γνώμας B. 15. ἦλθον om. B. || διὸ δίδωμι] ζήτει ὅλον marg. B. 16. εὐλόγιον Patr.

minavi iis sapientiae sermones et alti sunt ambrosia aqua. vespere autem facto et solis splendore iam occidente toto, iussi eos gratias deo agere. et completa gratiarum actione unusquisque rediit in proprium cubile. ego vero beneficentiam Poemandri descripsi in me ipso, et repletus iis, quae volueram, laetatus sum valde. factus est enim corporis somnus animae sobrietas, et compressio oculorum vera visio, et silentium meum gravidum bono, et sermonis prolatio germina bonorum. hoc autem accidit mihi, qui accepi a mente mea, hoc est a Poemandro domino verbi, unde ipse divino afflatus spiritu, veritatis compos effectus sum. propterea do ex animo et ex viribus totis laudem patri deo.

Sanctus deus pater universorum; sanctus deus, cuius consilium ad finem deducitur a propriis potentiis; sanctus deus, qui cognosci

ὃς γνωσθῆναι βούλεται καὶ γινώσκεται τοῖς ἰδίοις· ἅγιος εἶ, ὁ λόγῳ συστησάμενος τὰ ὄντα· ἅγιος εἶ, οὗ πᾶσα φύσις εἰκὼν ἔφυ· ἅγιος εἶ, ὃν ἡ φύσις οὐκ ἐμόρφωσεν· ἅγιος εἶ, ὁ πάσης δυνάμεως ἰσχυρότερος· ἅγιος εἶ, ὁ πάσης ὑπεροχῆς μείζων· ἅγιος εἶ, ὁ κρείσσων τῶν ἐπαίνων. δέξαι λογικὰς θυσίας ἁγνὰς ἀπὸ ψυχῆς καὶ καρδίας πρὸς σὲ ἀνατεταμένης, ἀνεκλάλητε, ἄρρητε, σιωπῇ φωνούμενε.

32 αἰτουμένῳ τὸ μὴ σφαλῆναι τῆς γνώσεως τῆς κατ' οὐσίαν ἡμῶν ἐπίνευσόν μοι, καὶ ἐνδυνάμωσόν με, καὶ τῆς χάριτος ταύτης φώτισον τοὺς ἐν ἀγνοίᾳ τοῦ γένους μου ἀδελφούς, υἱοὺς δὲ σοῦ. διὸ πιστεύω σοι καὶ μαρτυρῶ, εἰς ζωὴν καὶ φῶς χωρῶ. εὐλόγητος εἶ πάτερ· ὁ σὸς ἄνθρωπος συναγιάζειν σοι βούλεται, καθὼς παρέδωκας αὐτῷ τὴν πᾶσαν ἐξουσίαν.

2. συνιστάμενος τὰ πάντα Patr. 7. ἀνατεταμένας Turn. Fluss. 8. αἰτοῦμεν Patr. || τῆς κατ' οὐσίαν ἡμῶν om. Patr. 9. μοι] με B, om. A. 10. φωτίσω AB, πλήρωσόν με marg. B. || ἀγνοίαις Patr. 11. σοι] sic Patr. om. reliqui.

vult et cognoscitur a suis; sanctus es, qui verbo constituisti entia omnia; sanctus es, cuius universa natura imago nata est; sanctus es, quem natura non formavit; sanctus es, qui omni potentia es fortior; sanctus es, qui omni excellentia es maior; sanctus es, qui omnes superas laudes. suscipe loquelae sacrificium purum ab animo et corde ad te intentis, o indicibilis, ineffabilis, silentio vocate. petenti mihi ut non aberrem a cognitione nostrae essentiae annue, meque corrobora, et gratia hac illumines eos, qui sunt in ignorantia generis mei fratres, filios vero tuos. ideo credo tibi et testimonium do, in vitam et lucem transeo; benedictus es pater; tuus homo sanctificari tecum vult, prout ei tradidisti omnem potestatem.

Ἑρμοῦ τοῦ τρισμεγίστου 2
πρὸς Ἀσκληπιὸν λόγος καθολικός.

Πᾶν τὸ κινούμενον, ὦ Ἀσκληπιέ, οὐκ ἔν τινι κινεῖται 1 *καὶ ὑπό τινος;*

Ἀσκληπιός. Μάλιστα.

Ἑρμῆς. Οὐκ ἀνάγκη δὲ μεῖζον εἶναι τὸ ἐν ᾧ κινεῖται ἢ τὸ κινούμενον;

Ἀσκληπιός. Ἀνάγκη.

Ἑρμῆς. Ἰσχυρότερον ἄρα τὸ κινοῦν τοῦ κινουμένου;

Ἀσκληπιός. Ἰσχυρότερον γάρ.

Ἑρμῆς. Ἐναντίαν δὲ ἔχειν φύσιν ἀνάγκη τὴν ἐν ᾧ κινεῖται τῇ τοῦ κινουμένου;

1. *τοῦ τρισμεγίστου*] *ἐκ τῶν* Stob. || *τοῦ*] sic Patr. om. reliqui. 2. *Ἀσκληπιὸν*] sic Fluss. Patr. Stob. *Τὰτ* AB Turn. || *λόγος καθολικός* om. Stob. Primas quattuor huius capitis paragraphos [*πᾶν τὸ* — p. 21, 3. *ἐστιν ἤ*] ex Stobaeo (ecl. phys. I. p. 384 Heeren) dedit Patricius, om. AB Turn. Fluss.; ubi apud Stobaeum *Ἀσκληπιός*, ibi in plerumque B *Τὰτ* legitur. nulla personarum distinctio in A Turn. Fluss. Patr. 3. *οὐκ* om. Patr. 6. *τὸ* om. Stob. 7. *ἢ* om. Stob. 11. *φύσιν ἔχειν* Patr.

Hermetis Trismegisti
ad Asclepium sermo universalis.

Omne quod movetur, o Asclepi, nonne in aliquo movetur et ab aliquo?

Ascl. Maxime.

Herm. Nonne necessarium est, maius esse id in quo quid movetur eo quod movetur?

Ascl. Necessarium.

Herm. Validius ergo movens est quam motum?

Ascl. Validius.

Herm. Contrariam ergo naturam habere necesse est id in quo quid movetur ei quod movetur?

Ἀσκληπιός. Καὶ πάνυ.

2 *Ἑρμῆς.* Μέγας οὖν οὗτος ὁ κόσμος, οὗ μεῖζον οὐκ ἔστι σῶμα;

Ἀσκληπιός. Ὡμολόγηται.

Ἑρμῆς. Καὶ στιβαρός· πεπλήρωται γὰρ ἄλλων σωμάτων μεγάλων πολλῶν, μᾶλλον δὲ πάντων ὅσα ἐστὶ σώματα;

Ἀσκληπιός. Οὕτως ἔχει.

Ἑρμῆς. Σῶμα δὲ ὁ κόσμος;

Ἀσκληπιός. Σῶμα.

Ἑρμῆς. Καὶ κινούμενον;

3 *Ἀσκληπιός.* Μάλιστα.

Ἑρμῆς. Πηλίκον οὖν δεῖ τὸν τόπον εἶναι, ἐν ᾧ κινεῖται, καὶ ποταπὸν τὴν φύσιν; οὐ πολὺ μείζονα, ἵνα δυνηθῇ δέξασθαι τῆς φορᾶς τὴν συνέχειαν, καὶ μὴ θλιβόμενον τὸ κινούμενον ὑπὸ τῆς στενότητος ἐπισχῇ τὴν κίνησιν;

Ἀσκληπιός. Παμμέγεθές τι χρῆμα, ὦ τρισμέγιστε.

4 *Ἑρμῆς.* Ποταπῆς δὲ φύσεως; τῆς ἐναντίας ἄρα, ὦ Ἀσκληπιέ; σώματι δὲ ἐναντία φύσις τὸ ἀσώματον;

10. καὶ] δὲ Patr. 15. στερότητος ἐπισχεῖ Patr. 18. ἄρα om. Patr.

Ascl. Omnino.

Herm. Magnus igitur hic est mundus, quo maius corpus non est?

Ascl. Patet.

Herm. Et solidus; repletus enim est aliis corporibus magnis ac multis, vel potius omnibus, quaecumque corpora sunt?

Ascl. Ita se habet.

Herm. Corpus vero est mundus?

Ascl. Corpus.

Herm. Ac movetur?

Ascl. Maxime.

Herm. Quantum ergo et qualem locum oportet esse in quo movetur? nonne multo maiorem, ut possit capere motus continuitatem, ne id quod movetur pressum soliditate sua sistat motum?

Ascl. Permagnum quid, o Trismegiste.

Herm. Sed cuiusnam naturae? contrariae, o Asclepi? corpori autem contraria natura corpore caret?

Ἀσκληπιός. Ὡμολόγηται.

Ἑρμῆς. Ἀσώματος οὖν ὁ τόπος, τὸ δὲ ἀσώματον
ἢ θεῖόν ἐστιν ἢ θεός. τὸ δὲ θεῖον λέγω νῦν οὐ τὸ γεν-
νητόν, ἀλλὰ τὸ ἀγέννητον. ἐὰν μὲν οὖν ᾖ θεῖον, οὐσιώ- 5
δές ἐστιν· ἐὰν δὲ ᾖ θεός, ἀνουσίαστον γίνεται. ἄλλως δὲ
νοητὸς οὕτω. νοητὸς γὰρ πρῶτος ὁ θεός ἐστιν ἡμῖν, οὐχ
ἑαυτῷ. τὸ γὰρ νοητὸν τῷ νοοῦντι αἰσθήσει ὑποπίπτει.
ὁ θεὸς οὖν οὐχ ἑαυτῷ νοητός. οὐ γὰρ ἄλλο τι ὢν τοῦ
νοουμένου ὑφ' ἑαυτοῦ νοεῖται· ἡμῖν δὲ ἄλλο τί ἐστι, διὰ 6
τοῦτο ἡμῖν νοεῖται. εἰ δὲ νοητὸς ὁ τόπος, οὐχὶ θεός, ἀλλὰ
τόπος· εἰ δὲ καὶ θεός, οὐχ ὡς τόπος, ἀλλ' ὡς ἐνέργεια
χωρητική. πᾶν δὲ τὸ κινούμενον οὐκ ἐν κινουμένῳ κινεῖται,
ἀλλ' ἐν ἑστῶτι· καὶ τὸ κινοῦν δὴ ἕστηκεν· ἀδύνατον γὰρ
αὐτῷ συγκινεῖσθαι.

Ἀσκληπιός. Πῶς οὖν, ὦ τρισμέγιστε, τὰ ἐνθάδε

3. τὸ δὲ θεῖον] sic Stob. Patr. ἢ τὸ θεῖον Fluss. τὸ θεῖον Turn. 4. τὸ ἀγέννητον] hic desinit Stob. || οὐσιῶδες] οὐσία Patr. 5. θεὸς] θεὸς καὶ AB. || ἀνουσίαστον] ἀνούσιον B, ὑπὲρ οὐσίαν Patr. || γίνηται A, ἐστίν Patr. 6. νοητῶς A, νοητὸν B. || οὕτως B, οὗτος Patr. || νοητὸς γὰρ etc. mutato ordine Patr. 7. αἰσθήσει] δι' αἰσθήσεως Patr. || ὑποπίπτειν A. 8. οὖν] οὐκοῦν Turn. 10. οὐχὶ] οὐχ ὁ Turn. Fluss. || ἀλλὰ] ἀλλ' ὁ Turn. Fluss. 11. θεός] ὁ θεός AB, ὡς θεός Turn Fluss. 12. πᾶν δὲ τὸ κινούμενον] incipit Stob. ecl. phys. I. p. 398 Heeren. 13. δὴ] δὲ Turn.

Ascl. Patet.

Herm. Incorporeus ergo est locus, incorporeum autem vel divinum est vel deus. divinum autem dico nunc non genitum, sed ingenitum. si ergo fit divinum, essentia est; si vero fit deus, super essentiam est. alias et intelligibilis est hoc pacto. intelligibilis enim est primus deus non sibi ipsi sed nobis. intelligibile namque intelligenti per sensum substernitur. deus ergo sibi non est intelligibilis. non enim aliud quid existens ab eo quod intelligitur a se ipso intelligitur; est tamen differens quidquam a nobis, ideo a nobis intelligitur. si vero intelligibilis locus, non est deus, sed locus; quodsi et deus, non ut locus, sed ut actus capax. omne autem quod movetur non in moto movetur, sed in stante; et movens ergo stat; impossibile enim ei est simul moveri.

Ascl. Quomodo ergo, o Trismegiste, ea quae hic sunt simul

συγκινεῖται τοῖς κινουμένοις; τὰς γὰρ σφαίρας ἔφης τὰς πλανωμένας κινεῖσθαι ὑπὸ τῆς ἀπλανοῦς σφαίρας.

Ἑρμῆς. Οὐκ ἔστιν αὕτη, ὦ Ἀσκληπιέ, συγκίνησις, ἀλλ' ἀντικίνησις. οὐ γὰρ ὁμοίως κινοῦνται, ἀλλ' ἐναντίως ἀλλήλαις. ἡ δὲ ἐναντίωσις τὴν ἀντέρεισιν τῆς κινήσεως
7 ἑστῶσαν ἔχει. ἡ γὰρ ἀντιτυπία στάσις φορᾶς ἐστί· δι' ὃ καὶ αἱ πλανώμεναι σφαῖραι ἐναντίως κινούμεναι τῇ ἀπλανεῖ, ὑπ' ἀλλήλων τῇ ἐναντίᾳ ὑπαντήσει περὶ τὴν ἐναντιότητα αὐτὴν ὑπὸ τῆς ἑστώσης κινοῦνται· καὶ ἄλλως ἔχειν ἀδύνατον. τὰς γὰρ ἄρκτους ταύτας, ἃς ὁρᾷς μήτε δυνούσας μήτε ἀνατελλούσας, περὶ δὲ τὸ αὐτὸ στρεφομένας οἴει ἢ κινεῖσθαι ἢ ἑστάναι;

Ἀσκληπιός. Κινεῖσθαι, ὦ τρισμέγιστε.

Ἑρμῆς. Κίνησιν ποιάν, ὦ Ἀσκληπιέ;

Ἀσκληπιός. Τὴν περὶ τὸ αὐτὸ ἀεὶ στρεφομένην.

1. κινουμένοις] κινοῦσιν Stob. 3. ὦ Ἀσκληπιέ] γράφεται· ὦ τέκνον marg. B. || συγκίνησις] sic Stob. Patr., κίνησις reliqui. 4. ἐναντίως] sic B Patr., ἐναντίαι reliqui. 6. στάσις φορᾶς ἐστί] sic Patr., στάσεώς ἐστι φορά reliqui. || ἐστί om. Stob. 6. 7. δι' ὃ καὶ] sic Patr., om. reliqui. 8. τῇ ἐναντίᾳ ὑπαντήσει περὶ τὴν om. Patr. 9. αὐτὴν — κινοῦνται] ἑστῶσαν αὐτὴν ἐπ' αὐτῆς ἕξει Stob. Patr. 11. 12. ἀντιστρεφομένας Turn. Fluss. 12. ἢ post οἴει om. B. Stob. || ἢ οἴει A Turn. Fluss. 15. τὸ αὐτὸ] τὰ αὐτὰ Patr., αὐτὸ AB Turn. Fluss. || ἀεὶ στρεφομένην] sic Patr., ἀναστρεφομένην Stob., στρεφομένην reliqui.

moventur cum motis? sphaeras enim dixisti errantes moveri ab inerrante sphaera.

Herm. Non est haec, o Asclepi, commotio sed contramotio. non enim simili modo moventur sed contrario sibi invicem. contrarietas autem resistentiam motus stantem habet. nam resistentia status lationis est; ideo et errantes sphaerae contra cum moveantur ipsi inerranti, inter se invicem contrario occursu, per contrarietatem ipsam a stante moventur; et aliter esse nequit. nam arctos hasce, quas vides neque occidere neque oriri, et circa idem revolvi, putasne vel moveri vel stare?

Ascl. Moveri, o Trismegiste.

Herm. Motu quali, o Asclepi?

Ascl. Eo; qui circa idem semper volvitur.

Ἑρμῆς. Ἡ δὲ περιφορὰ ἡ περὶ τὸ αὐτὸ κίνησίς ἐστιν ὑπὸ στάσεως κατεχομένη. τὸ γὰρ περὶ αὐτὸ κωλύει τὸ ὑπὲρ αὐτό. κωλυόμενον δὲ τὸ ὑπὲρ αὐτὸ εἰ ἕστηκεν εἰς τὸ περὶ αὐτό, οὕτω καὶ ἡ ἐναντία φορὰ ἕστηκεν ἑδραία, ὑπὸ τῆς ἐναντιότητος ἀεὶ στηριζομένη. παράδειγμα δέ σοι 8
ἐπίγειον τοῖς ὀφθαλμοῖς ἐμπῖπτον περὶ τούτου φράσω· τὰ ἐπίγεια ζῷα οἷον τὸν ἄνθρωπον λέγω θεώρει νηχόμενον. φερομένου γὰρ τοῦ ὕδατος ἡ ἀντιτυπία τῶν ποδῶν καὶ τῶν χειρῶν στάσις γίνεται τῷ ἀνθρώπῳ τοῦ μὴ συγκατενεχθῆναι τῷ ὕδατι μήτε δῦναι ὑπ' αὐτό.

Ἀσκληπιός. Σαφέστατον παράδειγμα εἶπες, ὦ τρισμέγιστε.

Ἑρμῆς. Πᾶσα οὖν κίνησις ἐν στάσει καὶ ὑπὸ στάσεως κινεῖται. ἡ οὖν κίνησις τοῦ κόσμου καὶ παντὸς ζώου

1. 2. ἡ δὲ περιφορὰ — κατεχομένη] ἡ δὲ περὶ τὸ αὐτὸ φορὰ καὶ ἡ περὶ τὸ αὐτὸ κίνησις ὑπὸ στάσεως πάντως κατέχεται B. || τὸ et ἐστιν om. Turn. Fluss. 3. κωλυόμενον — ὑπὲρ αὐτὸ om. Stob. Patr. || δὲ τοὺς τὸ A. || εἰ om. B. || ἕστηκεν] ἕστη libri, cf. infra. 4. καὶ οὕτω Patr. || ἕστηκεν] sic Stob. ἕστη B, ἕστη ἡ A Turn. Fluss. 5. ἀεὶ] sic Patr. om. reliqui. 6. ἐπίγειον om. AB Turn. Fluss. || ἐμπῖπτον] sic Patr., ἐπιπίπτον Stob., πῖπτον AB Turn. Fluss. || περὶ τούτου om. AB Turn. Fluss. 7. ἐπίγεια] ἐπίκηρα Stob. || θεωρία A, θεώρησον Stob. 9. τοῦ om. AB Turn. Fluss. 10. μήτε δῦναι ὑπ' αὐτό] sic Patr., om. reliqui. 13. ὑπὸ στάσεως] ὑποστάσει A. 14. κινεῖται] γίνεται marg. B. || κόσμου] sic B Patr., ζώου A Turn. Fluss.

Herm. Et circulatio circa idem motus est a statu contentus. nam quod circa idem, prohibet id quod super ipsum. impeditum autem super ipsum si stat in eo quod circa ipsum, ita contraria latio stat firma, a contrarietate semper firmata. exemplum autem terrenum oculis occurrens tibi dabo; terrena animalia ut hominem dico inspice natantem. nam lata aqua resistentia pedum et manuum statio fit homini, ne simul cum aqua deferatur neque mergatur.

Ascl. Clarissimum exemplum dixisti, o Trismegiste.

Herm. Omnis ergo motus in statu et a statu movetur. motus ergo mundi et cuiusque animalis materialis non ab iis fit, quae

ὑλικοῦ οὐχ ὑπὸ τῶν κατεκτὸς τοῦ κόσμου συμβαίνει γίνεσθαι, ἀλλ' ὑπὸ τῶν ἐντὸς εἰς τὸ κατεκτός, ἤτοι ψυχῆς ἢ πνεύματος ἢ ἄλλου τινὸς ἀσωμάτου. σῶμα γὰρ ἔμψυχον οὐ κινεῖ, ἀλλ' οὐδὲ τὸ σύνολον σῶμα κἂν ᾖ ἄψυχον.

9 *Ἀσκληπιός. Πῶς τοῦτο λέγεις, ὦ τρισμέγιστε; τὰ οὖν ξύλα καὶ τοὺς λίθους καὶ τὰ ἄλλα πάντα ἄψυχα οὐ σώματά ἐστι τὰ κινοῦντα;*

Ἑρμῆς. Οὐδαμῶς, ὦ Ἀσκληπιέ. τὸ γὰρ ἔνδον τοῦ σώματος, τὸ κινοῦν τὸ ἄψυχον, οὐ σῶμα ἐκεῖνό ἐστι τὸ ἀμφότερα κινοῦν, καὶ τὸ τοῦ βαστάζοντος καὶ τὸ τοῦ βασταζομένου; διόπερ ἄψυχον οὐκ ἄψυχον κινήσει· ἔμψυχον τὸ κινοῦν, ἐπεὶ κινεῖ. ὁρᾷς οὖν καταβαρυνομένην τὴν ψυχήν, ὅταν μόνη δύο σώματα φέρῃ. καὶ ὅτι μὲν ἔν τινι κινεῖται τὰ κινούμενα καὶ ὑπό τινος, δῆλον.

1. *κόσμου*] *σώματος* Stob. 2. post *κατεκτὸς* Stob. add. *τῶν νοητῶν*. || *ἤτοι* om. Stob. Patr. 3. post *γὰρ* AB Turn. Fluss. repetunt *σῶμα*. 4. *ᾖ* om. AB Turn. Fluss. 6. *οἱ λίθοι* Stob. || *ἄλλα* om. Stob. || *ἔμψυχα* AB Turn. Fluss. 7. *τὰ κινοῦντα* om. Stob. 8. *οὐδαμῶς* om. A. || *Ἀσκληπιέ*] *τέκνον* B. 9. *τὸ κινοῦν*] sic AB Turn. Patr., *τοῦ κινοῦντος* Stob. Vergic. Fluss. 10. post *βαστάζοντος* Patr. add. *σῶμα*. 11. *ἄψυχον οὐκ ἄψυχον κινήσει* om AB Turn. Fluss. 11. 12. *ἔμψυχον — κινεῖ* om. Stob. 12. *κινοῦν*] sic Patr. *καθεῦδον* AB Turn., *καθεαυτὸν* Fluss. || *καταβαρυνομένην*] sic Patr. *καὶ βαρυνομένην* Stob., *καταβαρουμένην* AB Turn. Fluss. 13. *μόνη* om. Stob. Patr. 13.—p. 25, 3. *καὶ ὅτι — Ἀσκληπιέ*, om. Stob., sequentia usque ad *ὑπάρξεως* (p. 25, 5.)

extra mundum sunt, sed ab iis quae sunt intra ad extra, ab anima aut spiritu aut alio aliquo incorporeo. corpus enim animatum non movet, neque omnino corpus, etiamsi sit inanime.

Ascl. Quomodo hoc dicis, o Trismegiste? nonne ligna et lapides et alia cuncta inanima corporibus moventur?

Herm. Nullo modo, o Asclepi. nam quod intra corpus, quod movet inanimatum, nonne corpus est utrumque movens, et ferentis et eius quod fertur? quare inanimatum non movebit inanimatum; sed movens animatum est, quoniam movet. vides ergo gravari animam, quando sola duo corpora fert; quin etiam manifestum est, quidquid movetur, in aliquo et ab aliquo moveri.

Ἀσκληπιός. Ἐν κενῷ δὲ δεῖ κινεῖσθαι τὰ κινού- 10 μενα, ὦ τρισμέγιστε.

Ἑρμῆς. Εὖ φής, ὦ Ἀσκληπιέ. οὐδὲν δὲ τῶν ὄντων ἐστὶ κενόν· μόνον δὲ τὸ μὴ ὂν κενόν ἐστι καὶ ξένον τῆς ὑπάρξεως, τὸ δὲ ὂν οὐκ ἂν ἠδύνατο εἶναι ὄν, εἰ μὴ μεστὸν τῆς ὑπάρξεως ἦν· τὸ γὰρ ὑπάρχον κενὸν οὐδέποτε γενέσθαι δύναται.

Ἀσκληπιός. Οὐκ ἔστιν οὖν κενά τινα, ὦ τρισμέγιστε, οἷον κάδδος κενὸς καὶ κέραμος κενὸς καὶ φρέαρ κενὸν καὶ ληνός, καὶ τὰ ἄλλα τὰ παραπλήσια;

Ἑρμῆς. Φεῦ τῆς πολλῆς πλάνης, ὦ Ἀσκληπιέ. τὰ πληρέστατα καὶ μεστότατα ἡγῇ κενὰ εἶναι;

Ἀσκληπιός. Πῶς λέγεις, ὦ τρισμέγιστε; 11

valde turbata sunt. 1. κενῷ] ἐκείνῳ AB Turn. 3. Εὖ φής] legendum videtur Εὐφήμει. || οὐδεν] hic incipit Stob. p.386. || δὲ om. Patr. 4. καὶ om. AB. || ξένον ὂν τῆς B. 5. 6. τὸ δὲ ὂν — ὑπάρξεως ἦν om. AB Turn. Fluss. 8. κενὰ om. AB Turn. Fluss. 9. post τρισμέγιστε AB Turn. Fluss. add. ἔστι τοιαῦτα. || κάδος Stob. || κενὸς post κάδδος et post κέραμος, κενὸν post φρέαρ om. Stob. 9. 10. φρέαρ κενὸν καὶ ληνός] ποταμὸς ὅλος AB Turn. Fluss. 10. post ἄλλα AB Turn. Fluss. add. πάντα. 11. Ἀσκληπιέ] τέκνον B. 12. ante πληρέστατα AB Stob. Turn. Fluss. add. μᾶλλον. || μεστότατα] sic Patr. μέγιστα ὄντα reliqui. || ante ἡγῇ AB Stob. Turn. Fluss. add. ταῦτα.

Ascl. In vacuo igitur oportet moveri ea, quae moventur, o Trismegiste.

Herm. Bene ominare, o Asclepi. nullum entium vacuum est; solum vero non ens vacuum est et alienum ab existentia. ens vero nequiret esse ens, nisi plenum esset existentiae. nam quod vacuum est nunquam fieri potest.

Ascl. Nonne ergo vacua quaedam sunt, o Trismegiste? ut cadus vacuus et dolium vacuum et puteus vacuus et torcular et reliqua his similia.

Herm. O errorem magnum, o Asclepi. plenissima et repletissima putas vacua esse?

Ascl. Quomodo ais, o Trismegiste?

Ἑρμῆς. Οὐ σῶμά ἐστιν ὁ ἀήρ;

Ἀσκληπιός. Σῶμα.

Ἑρμῆς. Τοῦτο δὲ τὸ σῶμα οὐ διὰ πάντων διήκει τῶν ὄντων καὶ πάντα διῆκον πληροῖ; σῶμα δὲ οὐκ ἐκ τῶν τεσσάρων κεκραμένον συνέστηκε; μεστὰ οὖν πάντα ἐστίν, ἃ σὺ φῂς κενά, τοῦ ἀέρος, εἰ δὲ τοῦ ἀέρος, καὶ τῶν τεσσάρων σωμάτων· καὶ συμβαίνει ὁ ἐναντίος λόγος ἐκφαίνεσθαι, ὅτι ἃ σὺ φῂς μεστά, ταῦτα πάντα κενά ἐστι τοῦ ἀέρος, ἐκείνων ἀπ' ἄλλων σωμάτων στενοχωρουμένων καὶ μὴ ἐχόντων δέξασθαι τὸν ἀέρα ἐν τόπῳ αὐτῶν. ταῦτα οὖν, ἃ σὺ φῂς εἶναι κενά, κοῖλα δεῖ ὀνομάζειν, οὐ κενά· ὑπάρχει γὰρ καὶ μεστά ἐστιν ἀέρος καὶ πνεύματος.

12 *Ἀσκληπιός.* Ἀναντίρρητος ὁ λόγος, ὦ τρισμέγιστε, σῶμά ἐστιν ὁ ἀήρ. τοῦτο δὲ τὸ σῶμα, ὃ διὰ πάντων διή-

2. *σῶμα*] sic Patr., om. reliqui; *ναί* marg. B. 5. *τεσσάρων*] *σωμάτων* AB Turn. Fluss. || *συνέστηκε* om. AB Turn. Fluss. 6. — 11. *εἰ δὲ — αὐτῶν* om. A Patr., in margine habet B. 6. *εἰ δὲ τοῦ ἀέρος, καὶ* om. etiam Turn. Fluss. || *καὶ*] *δι' ὧν* marg. B. 8. *πάντα* om. Stob. 9. *ἐκείνων ἀπ'*] *ὑπ'* AB Turn. Fluss. || *στενοχωρούμενα καὶ μὴ ἔχοντα τόπον δέξασθαι τὸν ἀέρα* marg. B. 11. *κενά* om. Stob. 15. — p. 27, 1. *σῶμα — πληροῖ* om. Stob. Patr.

Herm. Nonne corpus est aër?

Ascl. Corpus.

Herm. Nonne hoc corpus per omnia permeat entia et omnia penetrando implet? corpus vero non ex quattuor temperatum constat? plena igitur sunt omnia, quae tu dicis esse vacua, ipso aëre, sin autem aëre, et quattuor corporibus; et accidit ut oppositus elucescat sermo, quae videlicet tu dicis plena, ea omnia vacua sunt aëris, propter alia corpora arctantia, quae aërem in eorum loco sinere non possunt. haec igitur quae tu ais esse vacua, nominare oportet cava, non autem vacua, existunt enim et plena sunt aëre et spiritu.

Ascl. Contradici non potest hic sermo, o Trismegiste; aër corpus est: hoc autem corpus per omnia quae sunt divagatur, et omnia

κει τῶν ὄντων, καὶ πάντα διῆκον πληροῖ. τὸν οὖν τόπον ἐν ᾧ τὸ πᾶν κινεῖται τί εἴπωμεν;

Ἑρμῆς. Ἀσώματον, ὦ Ἀσκληπιέ.

Ἀσκληπιός. Τὸ οὖν ἀσώματον τί ἐστι;

Ἑρμῆς. Νοῦς καὶ λόγος, ὅλος ἐξ ὅλου ἑαυτὸν ἐμπεριέχων, ἐλεύθερος σώματος παντός, ἀπλανής, ἀπαθὴς σώματι καὶ ἀναφής, αὐτὸς ἐν ἑαυτῷ ἑστώς, χωρητικὸς τῶν πάντων καὶ σωτήριος τῶν ὄντων, οὗ ὥσπερ ἀκτῖνές εἰσι τὸ ἀγαθόν, ἡ ἀλήθεια, τὸ ἀρχέτυπον φῶς, τὸ ἀρχέτυπον τῆς ψυχῆς.

Ἀσκληπιός. Ὁ οὖν θεὸς τί ἐστιν;

Ἑρμῆς. Ὁ μηδὲ ἓν τούτων ὑπάρχων, ὢν δὲ καὶ τοῦ εἶναι τούτοις αἴτιος, καὶ πᾶσι καὶ ἑνὶ ἑκάστῳ τῶν ὄντων πάντων. οὐδὲ γὰρ οὐδὲν ὑπέλιπε πλέον τὸ μὴ ὄν· πάντα 13
δέ ἐστι τὰ ἐκ τῶν ὄντων γινόμενα, οὐχὶ ἐκ τῶν μὴ ὄντων.

2. τί om. Stob. 5. καὶ λόγος] om. Stob. || ὅλος om. AB Turn. Fluss. || ὅλου] ὅλων B. 7. σώματι om. Stob. Patr. || ἀναφής] ἀφανής Stob. Patr. || ἑστηκώς Stob. || συγχορητικὸς Stob. 8. οὗ ὥσπερ] οὗπερ AB Turn. Fluss. 9. φῶς] πνεύματος Stob. 11. τί om. AB Turn. Fluss. 13. τούτοις] τούτων AB Turn. Fluss. || ἑνὶ] ἐπὶ AB Turn. Fluss., et post ἑκάστῳ add. μέρει ἐφ' ἕκαστον τούτων. || post ὄντων desinit Stob. 14. πάντων om. Patr. || πλέον om. Patr. || τοῦ μὴ ὄντος B.

peragens implet. locum ergo, in quo universum movetur, quid dicemus?

Herm Incorporeum, o Asclepi.

Ascl. Incorporeum igitur quid est?

Herm. Mens et ratio, tota ex toto se ipsam comprehendens, libera ab omni corpore, inerrabilis, impassibilis a corpore, non tractabilis, ipsa in se ipsa manens, capax omnium, et servatrix entium, cuius veluti radii sunt ipsum bonum, ipsa veritas, ipsa archetypa lux, archetypum animae.

Ascl. Deus vero quidnam est?

Herm. Quod nihil horum existit, existens tamen et his caussa, ut sint, et omnibus et unicuique entium. nihil enim ultra reliquit quod non sit; omnia vero sunt entia, quae ex entibus fiunt, non

τὰ γὰρ μὴ ὄντα οὐ φύσιν ἔχει τοῦ δύνασθαι γενέσθαι, ἀλλὰ τοῦ μὴ δύνασθαί τι γενέσθαι. καὶ πάλιν τὰ ὄντα οὐ φύσιν ἔχει τοῦ μηδέποτ' εἶναι.

14 Ἀσκληπιός. Τί οὖν φὴς τὸν θεὸν εἶναί ποτε;

Ἑρμῆς. Ὁ οὖν θεὸς οὐ νοῦς ἐστίν, αἴτιος δὲ τοῦ εἶναι νοῦν, οὐδὲ πνεῦμα, αἴτιος δὲ τοῦ εἶναι πνεῦμα, οὐδὲ φῶς, αἴτιος δὲ τοῦ φῶς εἶναι· ὅθεν τὸν θεὸν δυσὶ ταύταις ταῖς προσηγορίαις σέβεσθαι δεῖ, ταῖς μόνῳ αὐτῷ προσῳκειωμέναις, καὶ ἄλλῳ οὐδενί. οὔτε γὰρ τῶν ἄλλων λεγομένων θεῶν οὔτε ἀνθρώπων οὔτε δαιμόνων τις δύναται κἂν καθ' ὁποσονοῦν ἀγαθὸς εἶναι, ἢ μόνος ὁ θεός, καὶ τοῦτό ἐστι μόνον, καὶ οὐδὲν ἄλλο· τὰ δὲ ἄλλα πάντα χωριστά ἐστι τῆς τοῦ ἀγαθοῦ φύσεως· σῶμα γάρ εἰσι καὶ ψυχή, τόπον οὐκ ἔχοντα χωρῆσαι δυνάμενον τὸ ἀγα-
15 θόν. τοσοῦτον γάρ ἐστι τοῦ ἀγαθοῦ τὸ μέγεθος, ὅσον ἐστὶν ὕπαρξις πάντων τῶν ὄντων, καὶ σωμάτων καὶ ἀσωμάτων, καὶ αἰσθητῶν καὶ νοητῶν· τοῦτό ἐστι τὸ ἀγαθόν,

2. ἀλλὰ — γενέσθαι om. Patr. || τι] τι τὸ A Turn. Fluss. erasum in B. 4. τὸν θεὸν] τοῦ μὴ AB Turn. Fluss. 6. νοῦν om. AB Turn. Fluss. || αἴτιος — πνεῦμα om. AB Turn. Fluss. 12. μόνον om. Patr. 13. χωριστά] sic Patr. χωρητά A Turn. Fluss. ἀχωρητά B. || εἰσι] sic AB, ἐστι Turn. Fluss. om. Patr. 14. ἔχοντα] ἔχουσι Patr. 17. τοῦτό ἐστι τὸ ἀγαθόν] sic AB, om Turn. Fluss. Patr.

autem ex non entibus. namque non entia naturam non habent, ut possint esse, sed ut non possint quidquam esse, et rursus entia naturam non habent, ut nunquam sint.

Ascl. Quid ergo dicis, deum esse aliquando?

Herm. Deus non est mens, sed caussa ut sit mens; neque spiritus, sed caussa ut sit spiritus, neque lux, sed caussa ut sit lux; unde duabus his appellationibus deum venerari oportet, quae soli ipsi sunt propriae, et nulli alii. neque enim aliorum, qui dii dicuntur neque hominum neque daemonum quisquam potest vel quadamtenus bonus esse, nisi solus deus, et hoc ipsum est et nihil aliud; alia vero omnia separabilia sunt a boni natura; nam sunt corpus et anima, loco carentia quo possint bonum capere. tanta enim est boni magnitudo, quanta est existentia entium omnium et corpo-

τοῦτό ἐστιν ὁ θεός. μὴ οὖν εἴπῃς ἄλλο τι ἀγαθόν, ἐπεὶ
ἀσεβεῖς, ἢ ἄλλο τί ποτε τὸν θεὸν ἢ μόνον τὸ ἀγαθόν,
ἐπεὶ πάλιν ἀσεβεῖς. λόγῳ μὲν οὖν ὑπὸ πάντων λέγεται 16
τὸ ἀγαθόν, οὐ νοεῖται δὲ τί ποτέ ἐστιν ὑπὸ πάντων.
διὰ τοῦτο οὐδὲ ὁ θεὸς νοεῖται ὑπὸ πάντων, ἀλλ' ἀγνοίᾳ
καὶ τοὺς θεοὺς καί τινας τῶν ἀνθρώπων ἀγαθοὺς ὀνομάζουσι, μηδέποτε δυναμένους μήτε εἶναι μήτε γενέσθαι
ἄν. ἀλλοτριώτατοι γάρ εἰσι τοῦ θεοῦ, τὸ δὲ ἀγαθὸν ἀχώριστον τοῦ θεοῦ, ὡς αὐτὸς ὁ θεὸς ὢν τὸ ἀγαθόν. θεοὶ
μὲν οὖν οἱ ἄλλοι πάντες ἀθάνατοι λέγονται, τετιμημένοι
τῇ τοῦ θεοῦ προσηγορίᾳ· ὁ δὲ θεὸς τὸ ἀγαθόν, οὐ κατὰ
τιμήν, ἀλλὰ κατὰ φύσιν. μία γὰρ ἡ φύσις τοῦ θεοῦ τὸ
ἀγαθὸν καὶ ἓν γένος ἀμφοτέρων, ἐξ οὗ τὰ γένη πάντα.
ὁ γὰρ ἀγαθὸς ἅπαντά ἐστι διδοὺς καὶ μηδὲν λαμβάνων.
ὁ οὖν θεὸς πάντα δίδωσι καὶ οὐδὲν λαμβάνει. ὁ οὖν θεὸς
τἀγαθόν, καὶ τὸ ἀγαθὸν ὁ θεός. ἡ δὲ ἑτέρα προσηγορία 17

3. οὖν om. Patr. 5. διὰ — πάντων om. Patr. 8. ἀλλοτριώτατοι — ἀγαθόν om. Patr. || ἀλλοτριώτατον et ἐστι A Turn. 8. 9. θεοῦ, ὡς καὶ ἀχώριστον, αὐτὸς ὁ θεὸς ὤν. θεοὶ μὲν A. 10. λέγονται] sic B, om. reliqui. 13. γένος] γενόμενος A. 16. τἀγαθόν] sic Patr., ἀγαθόν reliqui.

rum et incorporeorum et sensibilium et intelligibilium. hoc ipsum bonum est, deus ipse. ne ergo dixeris aliud quid bonum esse, nam impius esses, aut aliud quid unquam deum esse, nisi solum bonum, nam rursus impius esses. sermone quidem ab omnibus dicitur bonum, non intelligitur tamen ab omnibus, quid sit. qua de caussa ne deus quidem intelligitur ab omnibus, sed per ignorantiam et deos et hominum quosdam bonos nominant, cum nunquam vel possint esse vel fieri. alienissimi enim sunt a deo. bonum autem separari a deo nequit, cum deus ipse bonum sit. dii quidem alii omnes immortales dicuntur honorati dei appellatione; sed deus bonum non honore sed natura. una enim natura dei bonum ipsum et unum genus amborum, ex quo genera omnia. namque bonus omnia largitur et nihil accipit. deus igitur omnia dat et nihil accipit. deus ergo bonum et bonum deus. altera autem appellatio est patris, rursus

ἐστὶν ἡ τοῦ πατρός, πάλιν διὰ τὸ ποιητικὸν πάντων. πατρὸς γὰρ τὸ ποιεῖν· διὸ καὶ μεγίστη ἐν τῷ βίῳ σπουδὴ καὶ εὐσεβεστάτη τοῖς εὐφρονοῦσίν ἐστιν ἡ παιδοποιία· καὶ μέγιστον ἀτύχημα καὶ ἀσέβημά ἐστιν, ἄτεκνόν τινα ἐξ ἀνθρώπων ἀπαλλαγῆναι· καὶ δίκην οὗτος δίδωσι μετὰ θάνατον τοῖς δαίμοσιν. ἡ δὲ τιμωρία ἐστὶν ἥδε· τὴν τοῦ ἀτέκνου ψυχὴν εἰς σῶμα καταδικασθῆναι μήτε ἀνδρὸς μήτε γυναικὸς φύσιν ἔχον, ὅπερ ἐστὶ κατηραμένον ὑπὸ τοῦ ἡλίου. τοιγαροῦν, ὦ Ἀσκληπιέ, μηδενὶ ὄντι ἀτέκνῳ συνησθῇς, τοὐναντίον δὲ ἐλέησον τὴν συμφοράν, ἐπιστάμενος οἵα αὐτὸν μένει τιμωρία. τοσαῦτά σοι καὶ τοιαῦτα λελέχθω, ὦ Ἀσκληπιέ, προγνωσία τις τῆς τῶν πάντων φύσεως.

2. μέγιστον A. 3. παιδοποιία] φλυαρία marg. B. 8. ἔχον] ἔχοντος AB. 12. τῶν] sic Patr. om. ceteri.

ex eo, quod factor sit omnium. patris enim est facere; quamobrem maxima in vita et religiosissima cura est prudentibus filiorum procreatio, et maximum infortunium et impietas, sine filiis aliquem ex hominibus excedere; et poenas iste dat post mortem daemonibus. punitio est autem haec: animam eius, qui sine filiis est, in corpus condemnari, quod neque viri neque mulieris naturam habet, quod quidem maledictum est sub sole. ergo, o Asclepi, nemini, qui filiis careat, congratulere, sed e contra misereare infortunium, sciens qualis ipsum maneat poena. tot ac talia dicta tibi sunto, o Asclepi, ut praecognitio quaedam universorum naturae.

Ἑρμοῦ τοῦ τρισμεγίστου 3
λόγος ἱερός.

Δόξα πάντων ὁ θεὸς καὶ θεῖον καὶ φύσις θεία· ἀρχὴ 1
τῶν ὄντων ὁ θεὸς καὶ νοῦς καὶ φύσις καὶ ὕλη, σοφία
εἰς δεῖξιν ἁπάντων ὤν· ἀρχὴ τὸ θεῖον καὶ φύσις καὶ
ἐνέργεια καὶ ἀνάγκη καὶ τέλος καὶ ἀνανέωσις. ἦν γὰρ
σκότος ἄπειρον ἐν ἀβύσσῳ καὶ ὕδωρ καὶ πνεῦμα λεπτὸν
νοερόν, δυνάμει θείᾳ ὄντα ἐν χάει. ἀνείθη δὴ φῶς ἅγιον
καὶ ἐπάγη ὑπ' ἄμμῳ ἐξ ὑγρᾶς οὐσίας στοιχεῖα, καὶ θεοὶ
πάντες καταδιαιροῦσι φύσεως ἐνσπόρου. ἀδιορίστων δὲ 2
ὄντων ἁπάντων καὶ ἀκατασκευάστων ἀποδιωρίσθη τὰ
ἐλαφρὰ εἰς ὕψος καὶ τὰ βαρέα ἐθεμελιώθη ὑφ' ὑγρᾷ
ἄμμῳ, πυρὶ τῶν ὅλων διορισθέντων καὶ ἀνακρεμασθέντων
πνεύματι ὀχεῖσθαι· καὶ ὤφθη ὁ οὐρανὸς ἐν κύκλοις ἑπτά,
καὶ θεοὶ ταῖς ἐνάστροις ἰδέαις ὀπτανόμενοι σὺν τοῖς αὐ-

1. τοῦ τρισμεγίστου om. B. 3. ante ἀρχὴ AB Turn. Fluss. add. καί. 4. 5. σοφία — φύσις om. Patr. 8. θείᾳ om. Patr. 9. ὑφ' ἄμμῳ B. 10. καταδιαιρῶσι A, καταδιερῶσι B, καταδιαιρεθείσης Tied. 15. ἐνάστροις] sic B, ἐν ἄστρων reliqui.

Hermetis Trismegisti
sermo sacer.

Gloria omnium deus et divinum et natura divina; principium entium deus et intellectus et natura et materia; principium est divinum et natura et actus et necessitas et finis et renovatio. erant enim tenebrae infinitae in abysso et aqua et spiritus tenuis intellectualis, potentia divina existentia in chao. exiit lux sancta, et concreta sunt sub arena elementa ex humida substantia, et dii omnes distribuunt aliquid naturae seminalis. cumque omnia essent interminata et incondita, secreta sunt levia sursum, et gravia fundamentum facta sunt sub humida arena, omnibus igne discretis ac appensis, ut spiritu attollantur. et conspectum est coelum in circulis septem,

τῶν σημείοις ἅπασι· καὶ διηριθμήθη τὰ ἄστρα σὺν τοῖς ἐν αὐτοῖς θεοῖς· καὶ περιειλίχθη τὸ περικύκλιον ἀέρι,
3 κυκλίῳ δρομήματι πνεύματι θείῳ ὀχούμενον. ἀνῆκε δὲ ἕκαστος θεὸς διὰ τῆς ἰδίας δυνάμεως τὸ προσταχθὲν αὐτῷ· καὶ ἐγένετο θηρία τετράποδα καὶ ἑρπετὰ καὶ ἔνυδρα καὶ πτηνὰ καὶ πᾶσα σπορὰ ἔνσπορος καὶ χόρτος καὶ ἄνθους παντὸς χλόη, τὸ σπέρμα τῆς παλιγγενεσίας ἐν ἑαυτοῖς ἔχοντες· ἐσπερμολόγουν τε τὰς γενέσεις τῶν ἀνθρώπων εἰς ἔργων θείων γνῶσιν καὶ φύσεως ἐνεργοῦσαν μαρτυρίαν, καὶ πλῆθος ἀνθρώπων εἰς πάντων τῶν ὑπ' οὐρανὸν δεσποτείαν καὶ ἀγαθῶν ἐπίγνωσιν, εἰς τὸ αὐξάνεσθαι ἐν αὐξήσει καὶ πληθύνεσθαι ἐν πλήθει, καὶ πᾶσαν ἐν σαρκὶ ψυχὴν διὰ δρομήματος θεῶν ἐγκυκλίων, [τερασπορίας] εἰς κατοπτίαν οὐρανοῦ καὶ δρομήματος οὐρανίων θεῶν καὶ ἔργων θείων καὶ φύσεως ἐνεργείας, εἴς τε σημεῖα ἀγαθῶν, εἰς γνῶσιν θείας δυνάμεως, μοίρας

1. διηριθμήθη τὰ ἄστρα] sic Patr. διηρθρώθη reliqui. 2. αὐτοῖς] αὐτῇ AB Turn. || περιειλίχθη] sic B, περιελήγη A, περιλήγει edd. 7. ἄνθη πάσης χλόης Patr. || τὸ] καὶ τὸ B. || τὰ σπέρματα Patr. 8. ἑαυτοῖς] sic AB, αὐτοῖς edd. || ἔχοντες add. Tied. || τε τὰς] sic Tied. τάς τε reliqui. 9. γνῶσιν θείων A. 10. εἰς] sic Fluss. καὶ reliqui. 14. τερασπορίας uncis incl. Tied. || δρομήματος οὐρανίων om. Patr. 15. φύσεων AB.

et dii in astrorum ideis visi cum eorum signis omnibus; et dinumerata sunt astra cum diis, qui in ipsis erant. et circumprehensus est circulus aëre, circulari cursu divino spiritu latus. et protulerunt singuli dii per propriam potentiam quod sibi fuit ordinatum; et generatae sunt ferae quadrupedes et serpentes et natantes et volantes et omne semen foecundum et gramen et floris omnis herba virens, semina regenerationis in se ipsis habentes. seminabant etiam generationes hominum ad operum divinorum cognitionem et naturae vivum testimonium et multitudinem hominum ad omnium quae sub coelo sunt dominationem et bonorum agnitionem, ut augeantur in augmento et multiplicentur in multitudine, et omnem in carne animam per cursum deorum circularium in inspectionem coeli et cur-

*[ὀχλουμένης] γνῶναι ἀγαθῶν καὶ φαύλων, καὶ πασῶν ἀγα-
θῶν δαιδαλουργίαν εὑρεῖν. ἄρχεται αὐτῶν βιῶσαί τε καὶ* 4
*σοφισθῆναι πρὸς μοῖραν δρομήματος κυκλίων θεῶν, καὶ
ἀναλυθῆναι εἰς τοῦτο· καὶ ἔσονται μεγάλα ἀπομνημονεύ-
ματα τεχνουργημάτων ἐπὶ τῆς γῆς, καταλιπόντες ἐν ἀνα-
νεώσει χρόνων ἀμαύρωσιν. · καὶ πᾶσα γένεσις ἐμψύχου
σαρκὸς καὶ καρποῦ σπορᾶς καὶ πάσης τεχνουργίας τὰ
ἐλαττούμενα ἀνανεωθήσεται ἀνάγκῃ καὶ ἀνανεώσει θεῶν
καὶ φύσεως κύκλου ἐναριθμίου δρομήματι. τὸ γὰρ θεῖον
ἡ πᾶσα κοσμικὴ σύγκρασις φύσει ἀνανεουμένη· ἐν γὰρ
τῷ θείῳ καὶ η φύσις συγκαθέστηκεν.*

1. *ὀχλουμένης*] *οἰκουμένης* Fluss., uncis incl. Tied. || *πασῶν*] sic AB, *πᾶσαν* editi. 2. *ἔρχεται* Fluss. 4. *εἰς τοῦτο· καὶ*] sic Tied. *εἰς ὅ* reliqui. || *ἔσονται*] *ἔσται* AB. 5. 6. *ἀνανεώσει*] sic Patr., *ὀνόματι* reliqui. 6. *πᾶσαν γένεσιν* AB Turn. Patr. || *ἔμψυχον* A. 9. *ἐν ἀριθμοῦ* Patr. 10. *ἀνανεουμένη*] sic AB Patr., *ἀναθεωρουμένη* reliqui. 11. *καθέστηκεν* Patr. || *τέλος τοῦ λόγου ἱεροῦ* add. Patr.

sus caelestium deorum et operum divinorum et naturae efficaciae, in signa bonorum, ad notitiam divinae potentiae, partes cognoscere bonorum et malorum, et omnium bonorum artificium invenire. incipit eorum vita et scientia ad portionem cursus circularium deorum, et resolvi in id, et erunt magna commentaria artificiorum in terra, relinquentes in renovatione temporum deletionem. et omnis generatio animatae carnis et fructus seminis et omnis artificii, quae minuuntur, renovabuntur necessitate et renovatione deorum et naturae circuli in numerum currentis. divinum namque tota mundana temperatio natura renovata. in divino namque etiam natura est constituta.

---

4 Ἑρμοῦ τοῦ τρισμεγίστου πρὸς τὸν ἑαυτοῦ υἱὸν Τὰτ λόγος ὁ κρατὴρ ἢ μονάς.

1 Τὸν πάντα κόσμον ἐποίησεν ὁ δημιουργὸς οὐ χερσὶν ἀλλὰ λόγῳ· ὥστε οὕτως ὑπολάμβανε, ὡς τοῦ παρόντος καὶ ἀεὶ ὄντος καὶ πάντα ποιήσαντος καὶ ἑνὸς καὶ μόνου, τῇ δὲ αὐτοῦ θελήσει δημιουργήσαντος τὰ ὄντα. τοῦτο γάρ ἐστι τὸ σῶμα ἐκείνου, οὐχ ἁπτὸν οὐδὲ ὁρατὸν οὐδὲ μετρητὸν οὐδὲ διαστατὸν οὐδὲ ἄλλῳ τινὶ σώματι ὅμοιον. οὔτε γὰρ πῦρ ἐστὶν οὔτε ὕδωρ οὔτε ἀὴρ οὔτε πνεῦμα, ἀλλὰ πάντα ἀπ' αὐτοῦ· ἀγαθὸς γὰρ ὢν μόνῳ ἑαυτῷ ἀναθῆναι τοῦτο ἠθέλησε, καὶ κοσμῆσαι τὴν
2 γῆν· κόσμον δὲ θείου σώματος κατέπεμψε τὸν ἄνθρω-

1—3. Ἑρμοῦ πρὸς Τὰτ ὁ κρατὴρ ἢ μονάς B; sed margo superior praebet integrum titulum. 2. πρὸς — Τὰτ om. Patr. 4. ante Τὸν AB Turn. et Fluss. add. ἐπειδή, om. Patr. 5. τοῦ eras. B. 6. καὶ ante μόνου] sic B, om. reliqui. 7 — 13. τοῦτο — γῆν apud Stob. I. p. 66 Heeren. 7. τοῦτο] τοιοῦτο Heeren ap. Stob. 9. μετρητὸν] μεριστὸν B: || σώματι om. AB Turn. Fluss. 11. ἀπ' αὐτοῦ] sic Stob. Patr., τὰ ὑπ' αὐτοῦ reliqui. || γὰρ om. AB Turn. Fluss. 12. 13. ἑαυτῷ — γῆν] leviter mutato ordine AB Turn. Fluss.

Hermetis Trismegisti ad filium suum Tat sermo qui crater vel monas.

Universum mundum fecit opifex non manibus, sed verbo; itaque ita cogita de eo, ut de praesente et semper existente et omnia faciente et uno solo, qui sua voluntate condidit entia. hoc enim corpus est illius, non tactile neque visibile neque mensurabile neque extensile neque alii ulli corpori simile. neque enim ignis est neque aqua neque aër neque spiritus, sed omnia ab ipso orta sunt; bonus namque cum sit, soli sibi hoc dicare, et terram ornare voluit; or-

πον, ζῶον ἀθάνατον, ζῶον θνητόν. καὶ ὁ μὲν ἄνθρωπος τῶν ζώων ἐπλεονέκτει καὶ τοῦ κόσμου διὰ τὸν λόγον καὶ τὸν νοῦν. θεατὴς γὰρ ἐγένετο τῶν ἔργων τοῦ θεοῦ ὁ ἄνθρωπος, καὶ ἐθαύμασε, καὶ ἐγνώρισε τὸν ποιήσαντα.
τὸν μὲν οὖν λόγον, ὦ Τάτ, ἐν πᾶσι τοῖς ἀνθρώποις ἐμέ- 3
ρισε, τὸν δὲ νοῦν οὐκέτι, οὐ φθονῶν τισίν· ὁ γὰρ φθόνος οὐκ ἔνθεν ἔρχεται, κάτω δὲ συνίσταται ταῖς τῶν νοῦν μὴ ἐχόντων ἀνθρώπων ψυχαῖς.

Τάτ. Διὰ τί οὖν, ὦ πάτερ, οὐ πᾶσιν ἐμέρισε τὸν νοῦν ὁ θεός;

Ἑρμῆς. Ἠθέλησεν, ὦ τέκνον, τοῦτον ἐν μέσῳ ταῖς ψυχαῖς ὥσπερ ἆθλον ἱδρῦσθαι.

Τάτ. Καὶ ποῦ αὐτὸν ἱδρύσατο; 4

Ἑρμῆς. Κρατῆρα μέγαν πληρώσας τούτου κατέπεμψε δοὺς κήρυκα, καὶ ἐκέλευσεν αὐτῷ κηρύξαι ταῖς τῶν ἀνθρώπων καρδίαις τάδε· βάπτισον σεαυτὴν ἡ δυναμένη

1. ζώου ἀθανάτου A Turn. Fluss. || ἄνθρωπος] sic Patr., κόσμος reliqui. 2. post ἐπλεονέκτει libri add. τοῦ ζώου, om. Patr. || διὰ] sic Patr., om. reliqui. 3. τοῦ ἔργου AB. 7. ἄρχεται Turn. || τῶν] τὸν AB. 11. τοῦτον] τούτων A Turn. 14. μέγαν] sic AB, μὲν γὰρ Turn. Fluss. μὲν Patr. 16. καρδίαις] ψυχαῖς Patr.

natum tamen divini corporis demisit hominem, animal immortale animal mortale. et homo quidem animalibus et mundo plus habuit ob sermonem et mentem. spectator enim factus est operum dei homo, et admiratus est, et cognovit factorem. sermonem quidem, o Tat, in omnes homines partitus est, mentem autem nequaquam, non invidens aliquibus; invidia enim non inde venit, sed hic conflatur in animis hominum mente carentibus.

Tat. Quam ob caussam, o pater, non omnibus partitus est mentem deus?

Hermes. Voluit, o fili, hanc in medio veluti praemium animis proponere.

Tat. Et ubi eam proposuit?

Hermes. Craterem magnum replens deorsum misit praeconem, et iussit eum praeconio edicere animabus humanis haec: immerge te ipsam quae potes in hunc craterem, et quae credis te rediturum

εἰς τοῦτον τὸν κρατῆρα, ἡ πιστεύουσα ὅτι ἀνελεύσῃ πρὸς
τὸν καταπέμψαντα τὸν κρατῆρα, ἡ γνωρίζουσα ἐπὶ τί
γέγονας. ὅσοι μὲν οὖν συνῆκαν τοῦ κηρύγματος καὶ 3
ἐβαπτίσαντο τοῦ νοός, οὗτοι μετέσχον τῆς γνώσεως καὶ
τέλειοι ἐγένοντο ἄνθρωποι τὸν νοῦν δεξάμενοι· ὅσοι δὲ
ἥμαρτον τοῦ κηρύγματος, αὐτοὶ μὲν τὸν λόγον, τὸν δὲ 6
νοῦν μὴ προςειληφότες ἀγνοοῦσιν, ἐπὶ τί γεγόνασι καὶ
ὑπὸ τίνος. αἱ δὲ αἰσθήσεις τούτων ταῖς τῶν ἀλόγων ζώων
παραπλήσιαι, καὶ ἐν θυμῷ καὶ ἐν ὀργῇ τὴν κρᾶσιν ἔχον- 9
τες, οὐ θαυμάζουσι τὰ θέας ἄξια, ταῖς δὲ τῶν σωμάτων
ἡδοναῖς καὶ ὀρέξεσι προσέχοντες διὰ ταῦτα τὸν ἄνθρω-
πον γεγονέναι πιστεύουσιν. ὅσοι δὲ τῆς ἀπὸ τοῦ θεοῦ 12
δωρεᾶς μετέσχον, οὗτοι, ὦ Τάτ, κατὰ σύγκρισιν τῶν ἔργων
ἀθάνατοι ἀντὶ θνητῶν εἰσί, πάντα ἐμπεριλαβόντες τῷ
ἑαυτῶν νοῒ τὰ ἐπὶ τῆς γῆς τὰ ἐν οὐρανῷ καὶ εἴ τί ἐστιν 15
ὑπὲρ οὐρανόν. τοσοῦτον ἑαυτοὺς ὑψώσαντες εἶδον τὸ
ἀγαθόν, καὶ ἰδόντες συμφορὰν ἡγήσαντο τὴν ἐνθάδε

4. τοῦ νοός] τῷ κρατῆρι margo B. 6. μὲν τὸν λόγον] οἱ λογικοὶ B. 7. ἀγνοοῦσιν] sic B, ἀγνοοῦντες reliqui. 8. τίνος] sic B Patr., τίνων reliqui. 10. θαυμάζουσι] sic B Patr., θαυμάζοντες οὐ reliqui. 11. ante διὰ libri add. καὶ, om. Patr. 12. πιστεύουσιν] sic B, πιστεύοντες reliqui. || τοῦ om. A. 15. τῆς om. B.

esse ad eum qui misit craterem, quae cognoscis, ad quid facta sis. quicunque sane intellexerunt praeconium et immersi sunt in mentem, isti participarunt cognitionem et perfecti evaserunt homines, cum mentem suscepissent; qui vero non perceperunt praeconium, ipsi quidem sermonem, non autem mentem adepti ignorant, ad quid facti sint et a quo. sensus autem horum similes sunt brutorum animalium sensibus, et in animi confidentia et in ira temperiem habentes non admirantur ea quae sunt spectaculo digna, corporum vero voluptatibus et appetitibus dediti, ob has hominem esse factum credunt. quotcunque vero dei dono participes facti sunt, hi, o Tat, per comparationem operum immortales pro mortalibus sunt, omnia complexi sua mente, et terrena et caelestia et si quid est supra caelum. tantum se ipsos elevantes conspexerunt bonum, et cum vi-

διατριβήν· καὶ καταφρονήσαντες πάντων τῶν σωματικῶν
καὶ ἀσωμάτων ἐπὶ τὸ ἓν καὶ μόνον σπεύδουσιν. αὕτη, 6
ὦ Τάτ, ἡ τοῦ νοῦ ἐστιν ἐπιστήμη, τῶν θείων ἐντορία
καὶ ἡ τοῦ θεοῦ κατανόησις, θείου ὄντος τοῦ κρατῆρος.

Τάτ. Κἀγὼ βαπτισθῆναι βούλομαι, ὦ πάτερ.

Ἑρμῆς. Ἐὰν μὴ πρῶτον τὸ σῶμά σου μισήσῃς, ὦ τέκνον, σεαυτὸν φιλῆσαι οὐ δύνασαι· φιλήσας δὲ σεαυτὸν νοῦν ἕξεις, καὶ τὸν νοῦν ἔχων καὶ τῆς ἐπιστήμης μεταλήψῃ.

Τάτ. Πῶς ταῦτα λέγεις, ὦ πάτερ;

Ἑρμῆς. Ἀδύνατον γάρ ἐστιν, ὦ τέκνον, περὶ ἀμφότερα γίνεσθαι, περὶ τὰ θνητὰ δηλαδὴ καὶ τὰ θεῖα. δύο γὰρ ὄντων τῶν ὄντων, σώματος καὶ ἀσωμάτου, ἐν οἷς τὸ θνητὸν καὶ τὸ θεῖον νοεῖται, ἡ αἵρεσις θατέρου καταλείπεται τῷ ἑλέσθαι βουλομένῳ. οὐ γὰρ ἔστιν ἀμφότερα συνελθεῖν· ἐν οἷς τε ἡ ἐξαίρεσις καταλείπεται, τὸ ἕτερον

1. καὶ] sic B, om. ceteri. 3. ἐντορία] an θεωρία vel ἱστορία? 8. 9. καταλήψῃ A. 12. περὶ] sic AB, om. ceteri. || δηλαδὴ om. A. 14. νοεῖται] sic B, om. ceteri. 16. συνελθεῖν] sic B, om. ceteri. || αἵρεσις marg. B. || post τὸ codd. habent δὲ, delevit Patr. || ἕτερον] ὕστερον Vergic.

dissent, infortunium putarunt quae hic est moram; et spretis omnibus corporeis et incorporeis ad unum et solum festinant. haec est, o Tat, mentis scientia, divinorum inspectio et dei comprehensio, quia divinus est crater.

Tat. Et ego immergi volo, o pater.

Hermes. Nisi prius corpus tuum odio habueris, o fili, te ipsum amare non potes; te ipsum vero cum amaveris, mentem habebis, et mentem habens scientiam quoque adipisceris.

Tat. Quomodo haec dicis, o pater?

Hermes. Impossibile namque est, o fili, circa utraque versari, mortalia nimirum et divina. nam cum duo sint entia, corpus et incorporeum, in quibus mortale cognoscitur et divinum, electio alterius permittitur ei, qui eligere vult. non enim decet utraque convenire, in quibus autem alterius electio est alterum deminutum al-

7 ἐλαττωθὲν τὴν τοῦ ἑτέρου ἐφανέρωσεν ἐνέργειαν. ἡ μὲν οὖν τοῦ κρείττονος αἵρεσις οὐ μόνον τῷ ἑλομένῳ καλλίστη τυγχάνει, τὸν ἄνθρωπον ἀποθεῶσαι, ἀλλὰ καὶ τὴν πρὸς θεὸν εὐσέβειαν ἐπιδείκνυσιν· ἡ δὲ τοῦ ἐλάττονος τὸν μὲν ἄνθρωπον ἀπώλεσεν, οὐδὲν δὲ εἰς τὸν θεὸν ἐπλημμέλησεν, ἢ τοῦτο μόνον, ὅτι καθάπερ αἱ πομπαὶ μέσον παρέρχονται, μήτε αὗται ἐνεργῆσαί τι δυνάμεναι, τοὺς δὲ ἐμποδίζουσαι — τὸν αὐτὸν τρόπον καὶ οὗτοι μόνον πομπεύουσιν ἐν τῷ κόσμῳ παραγόμενοι ὑπὸ τῶν σωματικῶν ἡδονῶν.

8 Τούτων δὲ οὕτως ἐχόντων, ὦ Τάτ, τὰ μὲν παρὰ τοῦ θεοῦ ἡμῖν τε ὑπῆρξε καὶ ὑπάρξει, τὰ δὲ ἀφ' ἡμῶν ἀκολουθησάτω καὶ μὴ ὑστερησάτω, ἐπεὶ ὁ μὲν θεὸς ἀναίτιος, ἡμεῖς δὲ αἴτιοι τῶν κακῶν, ταῦτα προκρίνοντες τῶν ἀγαθῶν· ὁρᾷς, ὦ τέκνον, πόσα ἡμᾶς δεῖ σώματα διεξελθεῖν καὶ πόσους χοροὺς δαιμόνων καὶ συνέχειαν καὶ δρόμους ἀστέρων, ἵνα πρὸς τὸν ἕνα καὶ μόνον θεὸν σπεύσωμεν. ἀδιάβατον γὰρ τὸ ἀγαθὸν καὶ ἀπέραντον καὶ

2. οὖν] γὰρ marg. B. || post οὖν AB Turn. Fluss. add. ἐνέργεια. 9. παραγόμενοι] sic Patr., παραγενόμενοι ceteri. 12. ἡμῶν] ὑμῶν AB. 17. θεὸν om. AB. 18. ἀδιάβατον] sic Patr. Tied., διαβατὸν ceteri.

terius manifestavit efficaciam. praestantioris ergo electio non solum eligenti pulcherrima fit, ita ut hominem deificet, sed etiam erga deum pietatem ostendit; minoris vero electio hominem quidem perdidit, nihil autem in deum peccavit, nisi hoc solum, quod sicuti pompae per medium transeunt, neque ipsae agere aliquid valentes, nisi quod impediunt — eodem modo et isti pompam tantum agunt in mundo abducti a corporeis voluptatibus.

His ita se habentibus, o Tat, quae a deo sunt, habemus et habebimus, alia a nobis veniant neve tardemus; nam deus caussa non est, nos vero caussa malorum sumus, haec praeferentes bonis; vides, o fili, quot nos oporteat corpora pertransire et quot daemonum choros et continuitatem et cursus astrorum, ut ad unum et solum deum festinemus. bonum enim transiri non potest et interminatum

ἀτελές, αὐτῷ δὲ καὶ ἄναρχον, ἡμῖν δὲ δοκοῦν ἀρχὴν ἔχειν
τὴν γνῶσιν. οὐκ αὐτῷ οὖν ἀρχὴ γίνεται ἡ γνῶσις, ἀλλ' 9
ἡμῖν τὴν ἀρχὴν παρέχεται τοῦ γνωσθησομένου. λαβώμεθα οὖν τῆς ἀρχῆς καὶ ὁδεύσωμεν τάχει ἅπαντα. πάνυ γάρ ἐστι σκολιὸν τὸ τὰ συνήθη καὶ παρόντα καταλιπόντα ἐπὶ τὰ παλαιὰ καὶ ἀρχαῖα ἀνακάμπτειν. τὰ μὲν γὰρ φαινόμενα τέρπει, τὰ δὲ ἀφανῆ δυσπιστεῖν ποιεῖ. φανερώτερα δέ ἐστι τὰ κακά, τὸ δὲ ἀγαθὸν ἀφανὲς τοῖς ὀφθαλμοῖς· οὐ γὰρ μορφὴ οὔτε τύπος ἐστὶν αὐτῷ. διὰ τοῦτο αὐτῷ μέν ἐστιν ὅμοιον, τοῖς δὲ ἄλλοις πᾶσιν ἀνόμοιον. ἀδύνατον γὰρ ἀσώματον σώματι φανῆναι.

Αὕτη ἡ διαφορὰ τοῦ ὁμοίου πρὸς τὸ ἀνόμοιον, καὶ 10
τῷ ἀνομοίῳ ὑστέρημα πρὸς τὸ ὅμοιον. ἡ γὰρ μονὰς πάντων οὖσα ἀρχὴ καὶ ῥίζα, ἐν πᾶσίν ἐστιν ὡς ἂν ῥίζα καὶ ἀρχή· ἄνευ δὲ ἀρχῆς οὐδέν· ἀρχὴ δὲ ἐξ οὐδενὸς ἢ ἐξ

1. ἑαυτῷ B. 2. αὐτοῦ AB. 5. σκολιὸν] σκληρὸν Fluss. Patr. 8. φανερώτατα A. 9. ὀφθαλμοῖς] sic B, φανεροῖς reliqui. || αὐτοῦ AB. 12. ἡ om. AB Turn. Fluss. 13. τῷ ἀνομοίῳ] τοῦ ἀνομοίου B. || ὅμοιον] marg. B ζήτει. || ἡ γὰρ μονὰς — p. 40, 11 εἰκών ap. Stob. ecl. phys. I p. 306 Heeren. 14. οὖσα πάντων AB Stob. || ἐν πᾶσίν ἐστιν ὡς ἂν ῥίζα om. AB Turn. Fluss. 15. post ἀρχὴ AB Turn. Fluss. Patr. add. οὖσα. 15 — p. 40, 1. ἢ ἐξ αὐτῆς] τὰ ἄλλα δὲ ἐξ αὐτῆς B. || ἢ] ἀλλ' Stob.

est et indefinitum; sibi quoque principio caret; nobis vero apparet principium habere cognitionem. non ipsi autem principium fit cognitio, sed nobis principium praebet eius qui cognosci debet. prehendamus ergo principium et permeabimus celeriter omnia. valde enim inopportunum est consueta praesentiaque relinquere et ad vetusta et primaeva redire. nam quae apparent oblectant, quae vero non apparent difficile creduntur, manifestiora sunt mala, bonum autem obscurum est oculis, neque enim forma aut figura ei est. atque ob id sibi quidem est simile, aliis vero omnibus dissimile. impossibile est enim incorporeum corpori innotescere.

Haec differentia est inter simile et dissimile, et dissimile non pervenit ad simile. monas namque omnium cum sit principium et radix in omnibus est ut radix et principium; sine principio autem

αὐτῆς, ἐπεὶ ἀρχή ἐστι τῶν ἑτέρων. αὕτη γάρ ἐστιν, ἐπεὶ μὴ ἄλλης ἀρχῆς ἔτυχεν οὖσα· μονὰς οὖν ἀρχὴ οὖσα πάντα ἀριθμὸν ἐμπεριέχει, ὑπὸ μηδενὸς ἐμπεριεχομένη, καὶ πάντα ἀριθμὸν γεννᾷ, ὑπὸ μηδενὸς γεννωμένη ἑτέρου ἀριθμοῦ.
11 πᾶν δὲ τὸ γεννώμενον ἀτελὲς καὶ διαίρετον καὶ αὐξητὸν καὶ μειωτόν, τῷ δὲ τελείῳ οὐδὲν τούτων γίνεται· καὶ τὸ μὲν αὐξητὸν αὔξάνεται ἀπὸ τῆς μονάδος, ἀναλίσκεται δὲ ὑπὸ τῆς αὐτοῦ ἀσθενείας, μηκέτι δυνάμενον τὴν μονάδα χωρῆσαι.

Αὕτη οὖν σοι, ὦ Τάτ, κατὰ τὸ δυνατὸν ὑπογέγραπται τοῦ θεοῦ εἰκών, ἣν ἀκριβῶς εἰ θεάσῃ καὶ νοήσεις τοῖς τῆς καρδίας ὀφθαλμοῖς, πίστευσόν μοι, τέκνον, εὑρήσεις τὴν πρὸς τὰ ἄνω ὁδόν· μᾶλλον δὲ αὐτή σε ἡ εἰκὼν ὁδηγήσει. ἔχει γάρ τι ἴδιον ἡ θέα· τοὺς φθάσαντας θεάσασθαι κατέχει καὶ ἀνέλκει, καθάπερ φασὶν ἡ μαγνῆτις λίθος τὸν σίδηρον.

1. ἐπεὶ] εἴ γε Stob. 1. 2. αὕτη — οὖσα om. Stob. 2. οὖσα ante πάντα] καὶ AB Turn. Fluss. 4. γενωμένη A. 6—9. καὶ τὸ — χωρῆσαι om. Stob. 7. ἀπὸ] ὑπὸ Patr. || ἀναλίσκεται] sic Patr., ἁλίσκεται reliqui. 10. οὖν om. AB Turn. Fluss. || σοι om. Stob. et ponit post δυνατὸν. 14. γάρ om. Patr.

nihil est, principium autem ex nullo alio, quam ex se ipso, nam aliorum est principium. ipsum namque est, quandoquidem ab alio principio non est; monas ergo quia principium est, omnem numerum complectitur, a nullo contenta, et omnem numerum generat, a nullo genita alio numero. omne autem genitum imperfectum est et divisibile, augmenta recipit et diminuitur, perfecto autem horum nihil fit; et quod augeri potest, augetur a monade, consumitur autem ab sua imbecillitate, cum non amplius monadem capere valeat.

Haec igitur tibi, o Tat, quantum potest descripta est dei imago; quam si exacte intueare, et intelliges cordis oculis, crede mihi, fili, et invenies ad supera viam; vel potius haec ipsa imago te ducet. habet autem quiddam peculiare hoc spectaculum; ut qui ad ipsum spectandum pervenerint, eos detineat et attrahat, sicuti aiunt magnetem lapidem attrahere ferrum.

Ἑρμοῦ τοῦ τρισμεγίστου 5
πρὸς τὸν ἑαυτοῦ υἱὸν Τάτ,
ὅτι ἀφανὴς ὁ θεὸς φανερώτατός ἐστιν.

Καὶ τόνδε σοι τὸν λόγον, ὦ Τάτ, διεξελεύσομαι, ὅπως 1
μὴ ἀμύητος ἦς τοῦ κρείττονος θεοῦ ὀνόματος· σὺ δὲ
νόει, ὅπως τὸ δοκοῦν τοῖς πολλοῖς ἀφανὲς φανερώτατόν
σοι γενήσεται. οὐ γὰρ ἂν ἦν, εἰ ἀφανὲς ἦν. πᾶν γὰρ
τὸ φαινόμενον γεννητόν· ἐφάνη γάρ· τὸ δὲ ἀφανὲς ἀεί
ἐστι· τοῦ γὰρ φανῆναι οὐ χρήζει. ἀεὶ γάρ ἐστι καὶ τὰ
ἄλλα πάντα φανερὰ ποιεῖ. αὐτὸς ἀφανὴς ὢν ὡς ἀεὶ ὢν
καὶ φανερῶν αὐτὸς οὐ φανεροῦται· οὐκ αὐτὸς γεννώμε-
νος, ἐν φαντασίᾳ δὲ πάντα φαντασιῶν. ἡ γὰρ φαντασία
μόνων τῶν γεννητῶν ἐστίν. οὐδὲν γάρ ἐστιν ἡ φαντασία
ἢ γένεσις. ὁ δὲ εἷς ἀγέννητος δηλονότι καὶ ἀφαντασία- 2
στος καὶ ἀφανής· τὰ δὲ πάντα φαντασιῶν διὰ πάντων

1—2. Ἑρμοῦ πρὸς Τὰτ υἱόν, ὅτι B. 2. πρὸς Τὰτ τὸν υἱὸν Patr. 3. ὁ om. AB Turn. Fluss. 6. ὅπως] sic Tied., πῶς reliqui. 7. γενήσεται] γένοιτο B. || ἂν] sic B Patr., εἰ A Turn. Fluss. || ἀφανὲς] sic A Turn., ἐμφανὲς B, ἀφανὴς Patr. 11. καὶ om. A Turn. Patr. 11. 12. γινόμενος B.

Hermetis Trismegisti ad filium suum Tat,
quod immanifestus deus manifestissimus sit.

Hunc quoque sermonem tibi, o Tat, percurram, ne sis imperitus praestantioris dei nominis; tu vero mente contemplare, quomodo id quod vulgo non manifestum videtur, manifestissimum tibi fiat. non enim esset, si immanifestum esset. omne enim quod apparet, generabile est; apparuit namque; quod vero immanifestum est, semper est; apparere enim opus non habet. semper enim est et alia omnia manifesta facit. ipse immanifestus remanens, cum semper sit, manifestans ipse non manifestatur; non ipse generatus, in apparentia tamen omnia imaginans. apparentia namque genitorum tantum est. nihil enim apparentia est nisi generatio. unus vero ingenitus nimirum et non apparens et immanifestus; omnia autem manifestans per

φαίνεται καὶ ἐν πᾶσι, καὶ μάλιστα οἷς ἂν αὐτὸς βουληθῇ φανῆναι. σὺ οὖν, ὦ Τὰτ τέκνον, εὖξαι πρῶτον τῷ κυρίῳ καὶ πατρὶ καὶ μόνῳ καὶ ἑνὶ καὶ ἀφ' οὗ ὁ εἷς, ἵλεω τυχεῖν, ἵνα δυνηθῇς τὸν τηλικοῦτον θεὸν νοῆσαι, κἂν ἀκτῖνά [σοι] μίαν αὐτοῦ τῇ σῇ διανοίᾳ ἐκλάμψαι. νόησις γὰρ μόνη ὁρᾷ τὸ ἀφανές, ὡς καὶ αὐτὴ ἀφανὴς οὖσα· εἰ δύνασαι, τοῖς τοῦ νοῦ ὀφθαλμοῖς φανήσεται, ὦ Τάτ· ἄφθονος γὰρ ὁ κύριος· φαίνεται δὲ διὰ παντὸς τοῦ κόσμου· νόησιν λαβεῖν, ἰδεῖν καὶ λαβέσθαι αὐταῖς ταῖς χερσὶ δύνασαι, καὶ τὴν εἰκόνα τοῦ θεοῦ θεάσασθαι. εἰ δὲ καὶ τὸ ἐν σοὶ ἀφανές ἐστί σοι, πῶς αὐτὸς ἐν σαυτῷ διὰ τῶν

3 *ὀφθαλμῶν σοι φανήσεται; εἰ δὲ θέλεις αὐτὸν ἰδεῖν, νόησον τὸν ἥλιον, νόησον τὸν τῆς σελήνης δρόμον, νόησον τῶν ἀστέρων τὴν τάξιν· τίς ὁ τὴν τάξιν τηρῶν; τάξις γὰρ πᾶσα περιώρισται ἀριθμῷ καὶ τόπῳ. ὁ ἥλιος θεὸς μέγιστος τῶν κατ' οὐρανὸν θεῶν, ᾧ πάντες εἴκουσιν οἱ οὐράνιοι θεοί, ὡσανεὶ βασιλεῖ καὶ δυνάστῃ. καὶ οὗτος*

2. φανῆναι] sic AB, φανεῖται edd. 3. ante ἑνὶ AB Turn. Fluss. add. οὐχ || καὶ ἀφ'] ἀλλ' ἀφ' AB Turn. Fluss. 5. post σοι A Turn. Fluss. repetunt κἂν. 8. δὲ om. A Turn. Fluss. Patr. 9. λαβεῖν om. AB Patr. || ἰδεῖν om. B Turn. 11. σοι post ἐστί om. B. 13. τῆς] sic Patr., om. ceteri. 15. θεὸς om. Patr.

omnia apparet et in omnibus, et maxime iis quibus voluerit apparere. tu ergo, o Tat fili, precare prius domino et patri et soli et uni, et a quo unus, propitius sit tibi, ut possis talem deum intelligere, si vel unus duntaxat illius radius menti tuae refulserit. intelligentia enim sola cernit immanifestum, quia et ipsa immanifesta est; si potes, mentis oculis apparebit, o Tat; caret enim invidia dominus; apparet autem per omnem mundum; intelligentiam sumere, videre et prehendere potes ipsis manibus, et imaginem dei spectare. si vero quod in te immanifestum est tibi, quomodo ipse in se ipso per oculos tibi apparebit? si vero ipsum vis videre, cogita solem, cogita lunae cursum, cogita astrorum ordinem; quis est ordinis servator? ordo enim omnis terminatur numero et loco. sol maximus deus est eorum qui in caelo sunt deorum, cui omnes cedunt cae-

ὁ τηλικοῦτος ὁ μείζων γῆς καὶ θαλάττης ἀνέχεται ὑπὲρ ἑαυτὸν ἔχων ἑαυτοῦ μικροτέρους πολεύοντας ἀστέρας. τίνα αἰδούμενος ἢ τίνα φοβούμενος, ὦ τέκνον; καὶ ἕκαστος τούτων τῶν ἀστέρων οὐ τὸν ὅμοιον ἢ ἴσον δρόμον ποιοῦνται ἐν οὐρανῷ ὄντες. τίς ὁ ἑκάστῳ τὸν τρόπον καὶ τὸ μέγεθος τοῦ δρόμου ὁρίσας; ἄρκτος αὐτὴ ἡ περὶ αὐ- 4
τὴν στρεφομένη καὶ τὸν πάντα κόσμον συμπεριφέρουσα, τίς ὁ τοῦτο κεκτημένος τὸ ὄργανον; τίς ὁ τῇ θαλάσσῃ τοὺς ὅρους περιβαλών; τίς ὁ τὴν γῆν ἑδράσας;

Ἔστι γάρ τις, ὦ Τάτ, ὁ τούτων πάντων ποιητὴς καὶ δεσπότης. ἀδύνατον γὰρ ἢ τόπον ἢ ἀριθμὸν ἢ μέτρον φυλαχθῆναι χωρὶς τοῦ ποιήσαντος. πᾶσα γὰρ τάξις ἀτοπίᾳ καὶ ἀμετρίᾳ ἀποίητος, ἀλλ᾽ οὐκ ἀδέσποτος οὐδὲ αὕτη, ὦ τέκνον. καὶ γὰρ εἰ τὸ ἄτακτόν ἐστιν ἐνδεές, ὅτι οὐ κατέχει τὸν τρόπον τῆς τάξεως, καὶ ὑπὸ δεσπότην ἐστὶ τὸν μηδέπω αὐτῷ τὴν τάξιν τάξαντα. εἴθε δυνατόν σοι ἦν πτηνῷ 5

1. θαλάσσης A. 2. πολιτεύοντας B Vergic. Fluss. 3. ἢ τίνα φοβούμενος om. Patr. errore typ. 6. 7. περὶ ἑαυτὴν B. 8. τῇ om. Patr. || τῆς θαλάσσης A. 14—16. καὶ γὰρ — τάξαντα uncis includ. Patr. 14. ὅτι οὐ] sic B, ὅτε reliqui. || post κατέχει A et edd. add. τοῦτό ἐστι. 15. post ὑπὸ A et edd. add. τόν. 16. αὐτῷ] αὐτῇ Patr.

lestes dii tamquam regi et dynastae. et is tantus terra et mari maior sustinet supra se habere se ipso minores stellas circumeuntes. quemnam venerans aut quem timens, o fili? singula enim haec astra non similem aut aequalem cursum faciunt in caelo. quis est qui cuique modum et magnitudinem cursus terminat? ursa haec, quae circa se volvitur et universum mundum secum circumfert, quis est qui hoc fabricavit instrumentum? quis est qui mari terminos circumposuit? quis est, qui terram stabilivit?

Est enim aliquis, o Tat, qui horum omnium est factor et dominus. impossibile enim est vel locum vel numerum vel mensuram servari absque factore. omnis enim ordo sine loco et sine mensura nusquam fit, sed domino non caret ipse, o fili. nam inordinatum si indigum est eo, quod modum ordinis non servet, et sub domino est, qui nondum ipsi ordinem ordinavit. utinam tibi fas esset alis

γενομένῳ ἀναπτῆναι εἰς τὸν ἀέρα καὶ μέσον ἀρθέντα τῆς γῆς καὶ οὐρανοῦ ἰδεῖν γῆς μὲν τὸ στερεόν, θαλάσσης δὲ τὸ κεχυμένον, ποταμῶν δὲ τὰ ῥεύματα, ἀέρος τὸ ἀνειμένον, πυρὸς τὴν ὀξύτητα, ἄστρων τὸν δρόμον, οὐρανοῦ τὴν ταχυτάτην περὶ ταῦτα περίβασιν. ὢ θέας ἐκείνης, τέκνον, εὐτυχεστάτης, ὑπὸ μίαν ῥοπὴν πάντα ταῦτα θεάσασθαι, τὸν ἀκίνητον διακινούμενον καὶ τὸν ἀφανῆ φαινόμενον, δι' ὧν ποιεῖται αὕτη ἡ τάξις τοῦ κόσμου, καὶ οὗτος ὁ κόσμος τῆς τάξεως.

6 *Εἰ θέλεις τὸν δημιουργὸν καὶ διὰ τῶν θνητῶν θεάσασθαι τῶν ἐπὶ τῆς γῆς καὶ τῶν ἐν βυθῷ, νόησον, ὦ τέκνον, δημιουργούμενον ἐν τῇ γαστρὶ τὸν ἄνθρωπον, καὶ τοῦ δημιουργήσαντος ἀκριβῶς τὴν τέχνην ἐξέτασον, καὶ μάθε τίς ὁ δημιουργῶν τὴν καλὴν ταύτην καὶ θείαν τοῦ ἀνθρώπου εἰκόνα. τίς ὁ τοὺς ὀφθαλμοὺς περιγράψας, τίς ὁ τὰς ῥῖνας καὶ τὰ ὦτα τρυπήσας, τίς ὁ τὸ στόμα διανοίξας, τίς ὁ τὰ νεῦρα ἐκτείνας καὶ δεσμεύσας, τίς ὁ τὰς φλέβας ὀχετεύσας, τίς ὁ τὰ ὀστέα στερροποιή-*

5. *ταχυτάτην*] sic Velsenius, *ταχύτητα τὴν* libri. 8—9. *δι' ὧν — τάξεως* om. Patr. 8. *ποιεῖται*] *ποιεῖ* libri. 10. *τὸν δημιουργὸν*] sic Patr., om. ceteri. 11. *τῆς* om. A. 13. *δημιουργήματος* AB Turn. Fluss.

sumptis volare in aërem, et cum medius esses sublatus inter terram et caelum videre terrae soliditatem, maris fusionem, fluviorum fluxus, aëris laxitatem, ignis velocitatem, astrorum cursum, caeli velocissimum circa haec ambitum. o spectaculum, fili, fortunatissimum, uno intuitu haec omnia intueri, immobilem moveri, non visibilem videri, per ea quae mundi ordinem et ordinis mundum efficiunt.

Si vis opificem etiam per mortalia quae in terra et in profundo sunt intueri, cogita, o fili, hominis in utero fabricam, et opificis exacte artificium expende, et disce quisnam artifex pulchram hanc et divinam hominis imaginem condiderit. quisnam est qui oculos circumscripsit, quis nares et aures perforavit, quis os aperuit, quis nervos extendit et colligavit, quisnam venas in canales efformavit, quis ossa induravit, quis carni cutem circumdedit, quis digitos et

σας, τίς ὁ τὸ δέρμα τῇ σαρκὶ περιβαλών, τίς ὁ τοὺς δα-
κτύλους καὶ τὰ ἄρθρα διελών, τίς ὁ τοῖς ποσὶ βάσιν
πλατύνας, τίς ὁ διορύξας τοὺς πόρους, τίς ὁ τὸν σπλῆνα
ἐκτείνας, τίς ὁ τὴν καρδίαν πυραμοειδῆ ποιήσας, τίς ὁ
τὰ πλευρὰ συνθείς, τίς ὁ τὸ ἧπαρ πλατύνας, τίς ὁ τὸν
πνεύμονα σηραγγώσας, τίς ὁ τὴν κοιλίαν εὐρύχωρον ποι-
ήσας, τίς ὁ τὰ τιμιώτατα εἰς τὸ φανερὸν ἐκτυπώσας καὶ
τὰ αἰσχρὰ κρύψας; ἰδὲ πόσαι τέχναι μιᾶς ὕλης, καὶ πόσα 7
ἔργα μιᾷ περιγραφῇ, καὶ πάντα περικαλλῆ καὶ πάντα
μεμετρημένα, πάντα δὲ ἐν διαφορᾷ. τίς πάντα ταῦτα
ἐποίησε; ποία μήτηρ, ποῖος πατήρ, εἰ μὴ μόνος ὁ ἀφα-
νὴς θεὸς τῷ ἑαυτοῦ θελήματι πάντα δημιουργήσας;

Καὶ ἀνδριάντα μὲν ἢ εἰκόνα χωρὶς ἀνδριαντο- 8
ποιοῦ ἢ ζωγράφου οὐδείς φησι γεγονέναι, τοῦτο δὲ
τὸ δημιούργημα χωρὶς δημιουργοῦ γέγονεν; ὢ τῆς
πολλῆς τυφλότητος, ὢ τῆς πολλῆς ἀσεβείας, ὢ τῆς
πολλῆς ἀγνωμοσύνης. μηδέποτε, ὦ τέκνον Τάτ, ἀπο-
στερήσῃς τοῦ δημιουργοῦ τὰ δημιουργήματα· μᾶλλον

2. καὶ τὰ ἄρθρα] sic Patr., om. reliqui. 4. 5. τίς ὁ τὰ πλευρὰ συνθεὶς om. Patr. 5. πλευρὰ] νεῦρα B Turn. 11. μόνος] sic Patr., om. reliqui. 17. 18. ἀποστερήσεις A.

articulos distinxit, quis pedibus basim dilatavit, quis poros cavavit, quis splenem extendit, quis cor in pyramidem formavit, quis latera composuit, quis hepar dilatavit, quis pulmonem cavernosum fecit, quis ventrem capacem, quis honorabilia palam figuravit et turpia abscondidit? vide quot artes in una materia et quot opera in una circumscriptione, omnia perpulchra et omnia mensurata, omnia tamen differentia. quis haec omnia effecit? quae mater, qui pater, nisi solus immanifestus deus sua voluntate omnia condens?

Et statuam quidem vel imaginem absque statuario aut pictore nemo dicit esse factas, hoc vero opificium sine opifice factum erit? o multam caecitatem, o multam impietatem, o multam ignorantiam. nunquam, o fili Tat, privaveris opifice opificia; quinimo praestan-

δὲ καὶ κρείττων ἐστὶν † ὅσος κατὰ θεὸν ὀνόματος, το-
σοῦτός ἐστιν ὁ πάντων πατήρ· ἢ γὰρ μόνος οὗτος, καὶ
9 τοῦτο αὐτῷ τὸ ἔργον ἐστὶ πατέρα εἶναι. εἰ δέ τί με καὶ
τολμηρότερον ἀναγκάζεις εἰπεῖν, τούτου ἐστὶν οὐσία τὸ
κύειν πάντα καὶ ποιεῖν. καὶ ὥσπερ χωρὶς τοῦ ποιοῦντος
ἀδύνατόν ἐστι γενέσθαι τι, οὕτω καὶ τοῦτον ἀεὶ μὴ εἶναι,
εἰ μὴ πάντα ἀεὶ ποιοῦντα ἐν οὐρανῷ, ἐν ἀέρι, ἐν γῇ, ἐν
βυθῷ, ἐν παντὶ τοῦ κόσμου, ἐν παντὶ τοῦ παντὸς μέρει,
τῷ ὄντι καὶ τῷ μὴ ὄντι. οὐδὲν γάρ ἐστιν ἐν παντὶ κόσμῳ
ὃ οὐκ ἔστιν αὐτός· ἔστιν αὐτὸς καὶ τὰ ὄντα καὶ τὰ μὴ
ὄντα. τὰ μὲν γὰρ ὄντα ἐφανέρωσε, τὰ δὲ μὴ ὄντα ἔχει
ἐν ἑαυτῷ.
10 Οὗτος ὁ θεὸς ὀνόματος κρείττων, οὗτος ὁ ἀφανής, οὗτος
ὁ φανερώτατος, ὁ τῷ νοῒ θεωρητός, οὗτος ὁ τοῖς ὀφθαλ-
μοῖς ὁρατός, οὗτος ὁ ἀσώματος, ὁ πολυσώματος· μᾶλλον δὲ

1. κρεῖττον et ὅσον A. || post ὅσος B add. τοῦ. 3. αὐτῷ] αὐτὸ AB. 7. πάντα] ταῦτα B. 8. ἐν παντὶ τοῦ παντὸς μέρει om. B. || μέρει] sic Patr., om. ceteri. 9. κόσμῳ] sic Patr., ἐκείνῳ ceteri. 10. post τὰ ὄντα AB repetunt αὐτὸς. 11. ὄντα post γὰρ] ἔχοντα A. 13. θεὸς] sic A Patr., θεοῦ reliqui.

tior est † quantus iuxta deum nomine, tantus est omnium pater; nam solus hic, et hoc opus eius est patrem esse. si vero quid audacius cogas me dicere, huius essentia est gravidum esse omnibus et ea facere. et sicuti absque factore impossibile est fieri aliquid, sic et hunc semper non esse, nisi omnia facientem in caelo, in terra, in aëre, in profundo, in universo mundo, in omni universi parte, enti et non enti. nihil enim est in universo mundo quod non sit ipse, et ipse entia et non entia. entia quidem manifestavit, non entia vero habet in se ipso.

Iste deus nomine praestantior est, hic immanifestus, hic manifestissimus, mente contemplandus, oculis visibilis, incorporeus et multorum corporum, imo omnium corporum. nihil est quod non sit iste. omnia enim solus iste est. et ob hoc ipse nomina habet omnia,

παντὸς σώματος· οὐδέν ἐστιν ὃ οὗτος οὐκ ἔστιν. πάντα γὰρ μόνος οὗτός ἐστι. καὶ διὰ τοῦτο ὀνόματα ἔχει ἅπαντα, ὅτι εἷς ἐστὶ πατήρ· καὶ διὰ τοῦτο αὐτὸς ὄνομα οὐκ ἔχει, ὅτι πάντων ἐστὶ πατήρ. τίς οὖν σε εὐλογῆσαι ὑπέρ σου ἢ πρός σε δύναιτο; ποῦ δὲ καὶ βλέπων εὐλογήσω σε, ἄνω, κάτω, ἔσω, ἔξω; οὐ γὰρ τρόπος, οὐ τόπος ἐστὶ περὶ σέ, οὐδὲ ἄλλο οὐδὲν τῶν ὄντων· πάντα δὲ ἔν σοι, πάντα ἀπὸ σοῦ, πάντα δίδως καὶ οὐδὲν λαμβάνεις, πάντα γὰρ ἔχεις καὶ οὐδὲν ὃ οὐκ ἔχεις.

Πότε δέ σε, πάτερ, ὑμνήσω; οὔτε γὰρ ὥραν σου οὔτε χρό- 11
νον καταλαβεῖν δυνατόν· ὑπὲρ τίνος δὲ καὶ ὑμνήσω; ὑπὲρ ὧν ἐποίησας ἢ ὑπὲρ ὧν οὐκ ἐποίησας; ὑπὲρ ὧν ἐφανέρωσας ἢ ὑπὲρ ὧν ἔκρυψας; διὰ τί δὲ καὶ ὑμνήσω σε; ὡς ἐμαυτοῦ ὤν; ὡς ἔχων τι ἴδιον; ὡς ἄλλος ὤν; σὺ γὰρ εἶ ὃ ἂν ὦ, σὺ εἶ ὃ ἂν ποιῶ, σὺ εἶ ὃ ἂν λέγω. σὺ γὰρ πάντα εἶ, καὶ ἄλλο οὐδέν ἐστιν ὃ μὴ εἶ. σὺ εἶ πᾶν τὸ γενόμενον, σὺ τὸ μὴ

1. παντὸς σώματος] an παντοσώματος? Velsenius. 2. μόνος] sic Patr., ἔστι καὶ AB Turn., ἃ ἔστι καὶ Fluss. || ante ὀνόματα edd. add. αὐτὸς. 3. εἷς et πατήρ] sic Patr., ἑνὸς et πατρός reliqui. 5. δύναιτο om. AB. || καὶ om. Patr. 10. πάτερ] sic Patr., om. reliqui. 14. ὃ ἂν ὦ] ὃ ἐὰν ὦ libri. 15. καὶ] τὸ A Turn. 16. ὃ μὴ εἶ] ὃ μὴ ἔστι B. || εἶ ante πᾶν om. A.

quia unus est pater; et ob hoc ipse nomen non habet, quoniam omnium est pater. quis igitur te de te aut ad te benedicere queat? quonam respiciens laudabo te, sursum, deorsum, intra, extra? non enim modus, non locus est circa te, neque aliud entium quidquam; omnia vero in te, omnia a te, omnia das et nihil accipis, omnia enim habes et nihil quod non habes.

Quando vero, o pater, te laudabo? neque enim hora tua neque tempus comprehendi potest; de quo etiam te laudabo? de iisne quae fecisti, vel de iis quae non fecisti? de iis quae manifestasti, vel de iis quae abscondisti? sed cur te laudabo? tamquamne mei sim? tamquam habens aliquid proprium? vel ut alius sim? tu enim es quod sum, tu es quod facio, tu es quod dico. tu enim omnia es, neque quidquam aliud est quod non sis tu. tu es omne

γενόμενον, νοῦς μὲν νοούμενος, πατὴρ δὲ δημιουργῶν, θεὸς δὲ ἐνεργῶν, ἀγαθὸς δὲ καὶ πάντα ποιῶν. ὕλης μὲν γὰρ τὸ λεπτομερέστερον ἀήρ, ἀέρος δὲ ψυχή, ψυχῆς δὲ νοῦς, νοῦ δὲ ὁ θεός.

1. νοούμενος] νοῶν Patr.

quod gignitur, tu omne quod non generatur, mens quidem intelligens, pater efficiens, deus operans, bonus quidem et omnia faciens. materiae namque tenuissima pars aër est, aëris vero anima, animae autem mens, mentis autem deus.

---

6 *Ἑρμοῦ τοῦ τρισμεγίστου, ὅτι ἐν μόνῳ τῷ θεῷ τὸ ἀγαθόν ἐστιν, ἀλλαχόθι δὲ οὐδαμοῦ.*

1 *Τὸ ἀγαθόν, ὦ Ἀσκληπιέ, ἐν οὐδενί ἐστιν εἰ μὴ ἐν μόνῳ τῷ θεῷ· μᾶλλον δὲ τὸ ἀγαθὸν αὐτός ἐστιν ὁ θεὸς ἀεί· εἰ δὲ οὕτως, οὐσίαν εἶναι δεῖ πάσης κινήσεως καὶ γενέσεως ἔρημον, (ἔρημον δὲ οὐδέν ἐστιν αὐτῆς) περὶ δὲ αὐτὴν στατικὴν ἐνέργειαν ἔχουσαν, ἀνενδεῆ καὶ ἀπέριττον, πληρεστάτην χορηγόν· ἓν δὲ ἀρχὴ πάντων· πᾶν γὰρ τὸ*

5. Ἑρμοῦ τοῦ τρισμεγίστου om. B. 6. 7. ἐστιν — οὐδαμοῦ om. Patr. 11. γενέσεως] γνώσεως A. || ἔρημον post γενέσεως] sic Patr., om. reliqui. 12. ἔχουσα libri. || ἀπέριττον] sic Verg. Fluss., ἀπείριτον A Turn., ἀπέρητον B, om. Patr. 13. ἓν] sic Patr., ἐν reliqui. || πάντων] sic AB Patr., πάντως Turn., πάντοσε Fluss.

Hermetis Trismegisti, quod in solo deo bonum sit, alibi autem nusquam.

Bonum, o Asclepi, in nullo est, nisi in solo deo; potius vero bonum est ipse deus semper; quod si ita sit, essentiam oportet esse omni motu et generatione carentem, (vacuum autem nihil est ipsa) circa vero se ipsam firmam energiam habentem non indigam, plenis-

χορηγοῦν ἀγαθόν. ὅταν λέγω καὶ πάντως, ἀεὶ ἀγαθόν ἐστι. τοῦτο δὲ οὐδενὶ ἄλλῳ πρόσεστιν εἰ μὴ μόνῳ τῷ θεῷ. οὔτε γὰρ ἐνδεής ἐστί τινος, ἵνα ἐπιθυμήσας αὐτὸ κτήσασθαι κακὸς γένηται· οὐδὲ τῶν ὄντων οὐδὲν ἀπόβλητόν ἐστιν αὐτῷ, ὃ ἀποβαλὼν λυπηθήσεται. λύπη γὰρ κακίας μέρος. οὔτε κρεῖττον αὐτοῦ ἐστιν οὐδὲν ὑφ' οὗ πολεμηθήσεται, οὐδὲ σύζυγόν ἐστιν αὐτῷ εἰς τὸ ἀδικηθῆναι· καὶ διὰ τοῦτο αὐτοῦ ἐρασθήσεται· οὔτε ἀνήκοον ᾧ ὀργισθήσεται, οὔτε σοφώτερον ὃ ζηλώσει.

Τούτων δὲ μὴ ὄντων ἐν τῇ οὐσίᾳ αὐτοῦ, τί ὑπολείπεται ἢ μόνον τὸ ἀγαθόν; ὥσπερ γὰρ οὐδὲν τῶν κακῶν ἐν τῇ τοιαύτῃ οὐσίᾳ, οὕτως ἐν οὐδενὶ τῶν ἄλλων τὸ ἀγαθὸν εὑρεθήσεται. ἐν πᾶσι γὰρ τὰ ἄλλα πάντα ἐστί, καὶ ἐν τοῖς μικροῖς καὶ ἐν τοῖς μεγάλοις καὶ ἐν τοῖς καθ' ἕνα καὶ ἐν τούτῳ τῷ ζώῳ τῷ πάντων μείζονι καὶ δυνατωτάτῳ. παθῶν 2

1. *πάντως*] sic A Patr., *πάντα* B, *πάντοσε* Fluss. 2. post *δὲ* AB Turn. Fluss. add. *ἐν*. 4. *κακὸς γένηται· οὐδὲ* om. Patr. || ante *κακὸς* Vergic. Fluss. add. *κακῶς κέκτηται καὶ*. || *γένηται*] sic Fluss., *κέκτηται* reliqui. 4. 5. *ἀπόβλεπτόν* Fluss. 7. 8. *εἰς τὸ ἀδικηθῆναι* om. Patr. 10. *ἐν*] sic Patr., om. reliqui. || *αὐτοῦ*] *αὐτοῦ μηδενός* Patr., *μηδενός* ceteri. 11. *κακῶν* om. AB Turn. 15 *τούτῳ*] sic Patr., *αὐτῷ* AB, *ταὐτῷ* reliqui.

simam, copiosissime suppeditantem. unum autem principium est omnium. omne enim largiens bonum. quando dico et omnino, semper bonum est. hoc vero nulli alii adest nisi soli deo. neque enim indigus est ullius rei, ut concupiscens eam acquirere malus fiat; neque entium ullum amittitur ab ipso, quod amittens doleat. dolor enim malitiae est pars. neque potentius ipso quidquam est, a quo oppugnetur, neque compar est ei, a quo contumelia affici possit, et hac de caussa amet; neque inobediens cui irascatur, neque sapientius cui aemuletur.

Haec autem cum non sint in essentia eius, quid relinquitur nisi solum bonum? sicut enim nullum malorum in tali est essentia, sic in nullo alio bonum reperietur. in omnibus enim alia omnia sunt, et in parvis et in magnis et in singulis et in hoc animali omnibus maiore et potentissimo. passionum enim plena sunt genita, quia

γὰρ πλήρη τὰ γεννητά, αὐτῆς τῆς γενέσεως παθητῆς οὔσης. ὅπου δὲ πάθος, οὐδαμοῦ τὸ ἀγαθόν, ὅπου δὲ τὸ ἀγαθόν, οὐδαμοῦ οὐδὲ ἓν τὸ πάθος. ὅπου γὰρ ἡμέρα, οὐδαμοῦ νύξ, ὅπου δὲ νύξ, οὐδαμοῦ ἡμέρα. ὅθεν ἀδύνατον ἐν γενέσει εἶναι τὸ ἀγαθόν, ἐν μόνῳ δὲ τῷ ἀγεννήτῳ. ὥσπερ δὲ μετουσία πάντων ἐστὶν ἐν τῇ ὕλῃ δεδεμένῃ, οὕτω καὶ τοῦ ἀγαθοῦ. τοῦτον τὸν τρόπον ἀγαθὸς ὁ κόσμος, καθὰ καὶ αὐτὸς πάντα ποιεῖ, ὡς ἐν τῷ μέρει τοῦ ποιεῖν ἀγαθὸς εἶναι· ἐν δὲ τοῖς ἄλλοις πᾶσιν οὐκ ἀγαθός. καὶ γὰρ παθητός ἐστι καὶ κινητὸς καὶ παθητῶν ποιητής.

3 Ἐν δὲ τῷ ἀνθρώπῳ κατὰ σύγκρισιν τοῦ κακοῦ τὸ ἀγαθὸν τέτακται. τὸ γὰρ μὴ λίαν κακὸν ἐνθάδε τὸ ἀγαθόν ἐστι· τὸ δὲ ἐνθάδε ἀγαθὸν μόριον τοῦ κακοῦ τὸ ἐλάχιστον. ἀδύνατον οὖν τὸ ἀγαθὸν ἐνθάδε καθαρεύειν τῆς κακίας. κακοῦται γὰρ ἐνθάδε τὸ ἀγαθόν· κακούμενον δὲ οὐκέτι ἀγαθὸν μένει, μὴ μεῖναν δὲ κακὸν γίνεται.

Ἐν μόνῳ ἄρα τῷ θεῷ τὸ ἀγαθόν ἐστιν, ἢ αὐτός

1. παθητῆς] πάθος τι Patr. 3. τὸ om. A. 6. δεδεμένῃ] sic Patr., δεδομένῃ reliqui. 8. πάντα om. B; ὡς om. AB. 16. δὲ (ante οὐκέτι)] sic Patr., γὰρ reliqui.

ipsa generatio passio quaedam est. ubi vero passio, nullo modo bonum, ubi vero bonum, nullo modo vel una est passio. ubi namque dies, nullibi nox, ubi vero nox, nullibi dies. unde impossibile est in generatione esse bonum, sed in solo ingenito. sicut vero participatio omnium est in materia illigata, sic et boni. hoc modo mundus est bonus, prout et ipse omnia facit, ut in parte faciendi bonus sit; et in aliis omnibus non bonus. etenim passibilis est et mobilis et passibilium factor.

In homine vero per comparationem mali bonum ordinatur. nam quod non valde malum hic bonum est; quod vero hic bonum est, particula mali est minima. impossibile ergo est bonum hic purum esse a malitia. nam hic malescit bonum; malum autem factum non amplius bonum manet, non manens autem malum fit.

In solo ergo deo bonum est, vel est deus ipse bonum. solum

ἐστιν ὁ θεὸς τὸ ἀγαθόν. μόνον οὖν, ὦ Ἀσκληπιέ, τὸ ὄνομα τοῦ ἀγαθοῦ ἐν ἀνθρώποις, τὸ δὲ ἔργον οὐδαμοῦ. ἀδύνατον γάρ. οὐ γὰρ χωρεῖ σῶμα ὑλικὸν τὸ πάντοθεν ἐσφιγμένον κακίᾳ καὶ πόνοις καὶ ἀλγηδόσι καὶ ἐπιθυμίαις καὶ ὀργαῖς καὶ ἀπάταις καὶ δόξαις ἀνοήτοις· καὶ τὸ πάντων κάκιστόν ἐστιν, ὦ Ἀσκληπιέ, ὅτι ἕκαστον τούτων τῶν προειρημένων ἐμπεπίστευται ἐνθάδε τὸ μέγιστον εἶναι ἀγαθόν· τὸ μᾶλλον ἀνυπέρβλητον κακόν, ἡ γαστριμαργία, ἡ τῶν κακῶν πάντων χορηγὸς ἡ πλάνη, ἡ ἀπουσία ἐνθάδε τοῦ ἀγαθοῦ ἐστί.

Κἀγὼ δὲ χάριν ἔχω τῷ θεῷ, τῷ εἰς νοῦν μοι βαλόντι 4
περὶ τῆς γνώσεως τοῦ ἀγαθοῦ, ὅτι ἀδύνατόν ἐστιν αὐτὸ ἐν τῷ κόσμῳ εἶναι. ὁ γὰρ κόσμος πλήρωμά ἐστι τῆς κακίας, ὁ δὲ θεὸς τοῦ ἀγαθοῦ, ἢ τὸ ἀγαθὸν τοῦ θεοῦ. αἱ γὰρ ἐξοχαὶ τῶν καλῶν περὶ αὐτήν εἰσι τὴν οὐσίαν· φαίνονται δὲ καὶ καθαρώτεραι καὶ εἰλικρινέστεραι τάχα που καὶ αὗται αἱ οὐσίαι ἐκείνου. τολμητέον γὰρ εἰπεῖν,

12. ante περὶ libri add. κἂν, om. Patr. 15. τῶν καλῶν] τοῦ καλοῦ Fluss. Patr. || post εἰσι Vergic. Fluss. Patr. add. τοῦ. 16. φαίνονται] sic AB Turn., φαίνοντος ceteri. || δὲ] sic B, om. ceteri. || εἰλικρινέσταται A.

ergo, o Asclepi, nomen boni in hominibus est, res autem ipsa nullibi. impossibile namque. non enim id capit corpus materiale undique constrictum malitia et laboribus et doloribus et cupiditatibus et ira et erroribus et opinionibus amentibus; et quod omnium pessimum est, o Asclepi, quod singula praedicta credita sunt hic maximum esse bonum. quod supremum est malum, ventris illuvies, et malorum omnium largitor error, absentia boni hic est.

Et ego gratias habeo deo, qui mihi in mentem iniecit boni cognitionem, quod impossibile sit ipsum bonum in mundo esse. mundus enim plenitudo est malitiae, deus vero plenitudo est boni vel bonum dei. nam pulchri excellentiae circa ipsam sunt essentiam; apparent et puriores et sinceriores et forte hae ipsae essentiae illius. audendum enim est dicere, o Asclepi, quod essentia dei, si tamen

ὦ Ἀσκληπιέ, ὅτι ἡ οὐσία τοῦ θεοῦ, εἴ γε οὐσίαν ἔχει, τὸ καλόν ἐστι· τὸ δὲ καλὸν καὶ ἀγαθόν ἐστι· ἀγαθὸν οὐδέν ἐστι καταλαβέσθαι τῶν ἐν τῷ κόσμῳ. πάντα γὰρ τὰ τῷ ὀφθαλμῷ ὑποπίπτοντα εἴδωλά ἐστι καὶ ὥσπερ σκιαγραφίαι· τὰ δὲ μὴ ὑποπίπτοντα, † μάλιστα δὲ ἡ τοῦ καλοῦ καὶ τοῦ ἀγαθοῦ. καὶ ὥσπερ ὁ ὀφθαλμὸς οὐ δύναται τὸν θεὸν ἰδεῖν, οὕτως οὐδὲ τὸ καλὸν καὶ τὸ ἀγαθόν. ταῦτα γὰρ τὰ μέρη τοῦ θεοῦ ἐστὶν ὁλόκληρα, ἴδια αὐτοῦ μόνου, οἰκεῖα ἀχώριστα ἐρασμιώτατα, ὧν ἢ αὐτὸς ὁ θεὸς ἐρᾷ ἢ αὐτὰ τοῦ θεοῦ ἐρᾷ.

5 Εἰ δύνασαι νοῆσαι τὸν θεόν, νοήσεις τὸ καλὸν καὶ ἀγαθόν, τὸ ὑπέρλαμπρον, τὸ ὑπερλαμπόμενον ὑπὸ τοῦ θεοῦ. ἐκεῖνο γὰρ τὸ κάλλος ἀσύγκριτον καὶ ἐκεῖνο τὸ ἀγαθὸν ἀμίμητον, ὥσπερ καὶ αὐτὸς ὁ θεός. ὡς οὖν τὸν θεὸν νοεῖς, οὕτω καὶ τὸ καλὸν καὶ ἀγαθὸν νόει. ἀκοινώνητα γὰρ ταῦτα τοῖς ἄλλοις τῶν ζώων ἐστί, διὰ τὸ ἀχώριστα εἶναι τοῦ θεοῦ. ἐὰν περὶ τοῦ θεοῦ ζητῇς, καὶ

2. ἐστι· ἀγαθὸν] sic Patr., om. ceteri. 5. σκιογραφίαι Turn. Fluss. Patr. || μὴ ὑποπίπτοντα] ἀεὶ ὑπόπτοντα Patr. 11. νοήσειν Patr. 12. ὑπέρλαμπον A. 14. post ἀγαθὸν A add. τὸ. 16. ante ζώων A Fluss. add. ἄλλων.

essentiam habet, pulchrum sit; pulchrum autem etiam bonum est. bonum autem nullum comprehenditur in mundo. omnia namque oculis subiecta idola sunt et veluti umbrae; quae vero non subiacent, † maxime boni et pulchri. et sicut oculus non potest deum videre, ita neque pulchrum neque bonum. hae enim partes dei sunt integrae, propriae ipsius solius, familiares, inseparabiles, amabilissimae, quas vel deus amat vel ipsae amant deum.

Si potes intelligere deum, intelliges pulchrum et bonum, fulgentissimum radiantissimumque a deo. illa enim pulchritudo incomparabilis et illud bonum inimitabile, sicuti et ipse deus. ut ergo deum intelligis, sic et pulchrum et bonum intellige. incommunicabilia enim sunt aliis animalibus, eo quod inseparabilia sunt a deo. si de deo quaeris, etiam de pulchro quaeris. una est enim ad ipsum

περὶ τοῦ καλοῦ ζητεῖς. μία γάρ ἐστιν ἡ εἰς αὐτὸ ἀπο-
φέρουσα ὁδός, ἡ μετὰ γνώσεως εὐσέβεια· ὅθεν οἱ ἀγνο- 6
οῦντες καὶ μὴ ὁδεύσαντες τὴν περὶ τῆς εὐσεβείας ὁδὸν
καλὸν καὶ ἀγαθὸν τολμῶσι λέγειν τὸν ἄνθρωπον, μηδὲ
ὄναρ θεασάμενον, εἴ τί ἐστιν ἀγαθόν, ἀλλὰ παντὶ κακῷ
προειλημμένον καὶ τὸ κακὸν πιστεύσαντα ἀγαθὸν εἶναι,
καὶ οὕτως αὐτῷ χρώμενον ἀκορέστως καὶ φοβούμενον
αὐτοῦ στερηθῆναι, πάντα δὲ ἀγωνιζόμενον, ἵνα μὴ μόνον
ἔχῃ, ἀλλὰ καὶ ἐπαύξῃ. τοιαῦτα τὰ ἀνθρώπεια ἀγαθὰ
καὶ τὰ καλά, ὦ Ἀσκληπιέ, ἃ οὔτε φυγεῖν δυνάμεθα οὔτε
μισῆσαι. τὸ γὰρ πάντων χαλεπώτατον, ὅτι χρείαν αὐτῶν
ἔχομεν καὶ ζῆν τούτων χωρὶς οὐ δυνάμεθα.

5. *θεασάμενοι* Patr. 6. *προειλημμένοι* Patr. || *πιστεύσαντες* Patr. 7. *χρώμενοι* et *φοβούμενοι* Patr. 8. *ἀγωνιζώμενοι* Patr.

ferens via, pietas cum cognitione; unde ignorantes et qui pietatis viam non sunt ingressi, pulchrum et bonum audent dicere hominem, qui ne in somnio quidem quid bonum sit videt, sed omni malo implicitus id quod malum est credit bonum esse, et ita illo utitur insatiabiliter, timens ne eo privetur, et omnem suscipiens laborem, ut non solum habeat, sed etiam augeat. talia sunt humana bona et pulchra, o Asclepi, quae neque fugere possumus neque odisse. omnium quidem asperrimum, quod ipsis opus habemus et vivere sine his non possumus.

7 Ἑρμοῦ τοῦ τρισμεγίστου, ὅτι μέγιστον κακὸν ἐν τοῖς ἀνθρώποις ἡ περὶ τοῦ θεοῦ ἀγνωσία.

1 Ποῖ φέρεσθε, ὦ ἄνθρωποι μεθύοντες, τὸν τῆς ἀγνω-
σίας ἄκρατον οἶνον ἐκπιόντες, ὃν οὐδὲ φέρειν δύνασθε,
ἀλλ᾽ ἤδη αὐτὸν καὶ ἐμεῖτε; στῆτε νήψαντες, ἀναβλέψατε
τοῖς τῆς καρδίας ὀφθαλμοῖς· καὶ εἰ μὴ πάντες δύνασθε,
οἵ γε δυνάμενοι. ἡ γὰρ τῆς ἀγνωσίας κακία ἐπικλύζει
πᾶσαν τὴν γῆν καὶ συμφθείρει τὴν ἐν τῷ σώματι κατα-
κεκλεισμένην ψυχήν, μὴ ἐῶσα ἐνορμίζεσθαι τοῖς τῆς σω-
2 τηρίας λιμέσι. μὴ συγκατενεχθῆτε τοιγαροῦν τῷ πολλῷ
ῥεύματι, ἀναρροίᾳ δὲ χρησάμενοι οἱ δυνάμενοι λαβέσθαι
τοῦ τῆς σωτηρίας λιμένος, ἐνορμισάμενοι τούτῳ ζητήσατε
χειραγωγὸν τὸν ὁδηγήσοντα ὑμᾶς ἐπὶ τὰς τῆς γνώσεως
θύρας, ὅπου ἐστὶ τὸ λαμπρὸν φῶς, τὸ καθαρὸν σκότους,

1. Ἑρμοῦ τοῦ τρισμεγίστου om. B. 2. τοῖς om. B. 5. οἶνον] sic B, λόγον A Turn. Fluss., om. Patr. 6. ἤδη] ἢ ὅτι Patr. || ἀναβλέψατε] sic AB, ἀναβλέψαντες editi. 8. post οἵ γε editi add. καὶ, om. B. 10. τοῖς om. Patr. 14. ὁδηγήσαντα A Patr. || ὑμᾶς] ἡμᾶς Patr.

Hermetis Trismegisti, quod maximum malum in hominibus dei sit ignoratio.

Quo ferimini, o homines ebrii, ignorantiae mero epoto, quod ne ferre quidem potestis, sed iam ipsum evomitis? state sobrii, visum oculorum cordis resumite; et si non omnes potestis, saltem hi, qui possunt. ignorantiae namque pravitas inundat omnem terram et corrumpit animam in corpore clausam, non patiens eam in salutis appellere portus. ne igitur deferamini cum multo fluxu, sed recursu usi qui potestis salutis portum apprehendere, ad hunc applicate, et quaerite, qui vos manducat in viam, qua ad cognitionis ianuam perveniatis, ubi splendidum lumen, purum a tenebris, ubi nemo ine-

ὅπου οὐδὲ εἷς μεθύει, ἀλλὰ πάντες νήφουσιν, ἀφορῶντες τῇ καρδίᾳ εἰς τὸν ὁραθῆναι θέλοντα. οὐ γάρ ἐστιν ἀκουστὸς οὐδὲ λεκτὸς οὐδὲ ὁρατὸς ὀφθαλμοῖς, ἀλλὰ νῷ καὶ καρδίᾳ. πρῶτον δὲ δεῖ σε περιρρήξασθαι ὃν φορεῖς χιτῶνα, τὸ τῆς ἀγνωσίας ὕφασμα, τὸ τῆς κακίας στήριγμα, τὸν τῆς φθορᾶς δεσμόν, τὸν σκοτεινὸν περίβολον, τὸν ζῶντα θάνατον, τὸν αἰσθητικὸν νεκρόν, τὸν περιφόρητον τάφον, τὸν ἔνοικον λῃστήν, τὸν δι' ὧν φιλεῖ μισοῦντα καὶ δι' ὧν μισεῖ φθονοῦντα.

Τοιοῦτός ἐστιν ὃν ἐνεδύσω ἐχθρὸν χιτῶνα, ἄγχων σε 3
κάτω πρὸς αὐτόν, ἵνα μὴ ἀναβλέψας καὶ θεασάμενος τὸ κάλλος τῆς ἀληθείας καὶ τὸ ἐγκείμενον ἀγαθὸν μισήσῃς τὴν τούτου κακίαν, νοήσας αὐτοῦ τὴν ἐπιβουλὴν ἣν ἐπεβούλευσέ σοι, τὰ δοκοῦντα ἡμῖν καὶ νομιζόμενα αἰσθητήρια ἀναίσθητα ποιῶν, τῇ πολλῇ ὕλῃ αὐτὰ ἀποφράξας καὶ μυσαρᾶς ἡδονῆς ἐμπλήσας, ἵνα μήτε ἀκούῃς περὶ ὧν ἀκούειν σε δεῖ, μήτε βλέπῃς περὶ ὧν βλέπειν σε δεῖ.

2. ἐστιν om. Patr. 4. ῥήξασθαι Patr. 7. αἰσθητικὸν] sic Verg. Fluss. et corr. A., αἰσθητὸν reliqui. 10. ἄγχων] ἄγων Patr. 14. ἡμῖν] sic B, μοι Turn., om. reliqui. || post καὶ Verg. add. μή.

briatur, sed omnes sobrii sunt, corde respicientes in eum qui conspici vult. non enim est audibilis neque dicibilis neque visibilis oculis, sed mente et corde. primo quidem oportet te perrumpere quem fers amictum, ignorantiae contextum, nequitiae firmamentum, corruptionis vinculum, tenebrosam sepem, vivam mortem, sentiens cadaver, circumlatum sepulcrum, domesticum furem, eum qui per quae amat odit, et per quae odit invidet.

Talis est quem induisti inimicus amictus, trahens te deorsum ad se, ne respiciens videas pulchritudinem veritatis et quod ibi habitat bonum, et odio habeas eius nequitiam, intelligens illius insidias, quibus est tibi insidiatus, quae videntur nobis et creduntur sensilia, insensilia efficiens, multa materia illa obturans et abominabili voluptate reptens, ut neque audias quae audire te oportet, neque cernas quae cernere te oportuit.

8 Ἑρμοῦ τοῦ τρισμεγίστου, ὅτι οὐδὲν τῶν ὄντων ἀπόλλυται, ἀλλὰ τὰς μεταβολὰς ἀπωλείας καὶ θανάτους πλανώμενοι λέγουσιν οἱ ἄνθρωποι.

1 Περὶ ψυχῆς καὶ σώματος, ὦ παῖ, νῦν λεκτέον, τρόπῳ μὲν ποιῷ ἀθάνατος ἡ ψυχή, ἐνέργεια δὲ ποταπή ἐστι συστάσεως σώματος καὶ διαλύσεως. περὶ οὐδὲν γὰρ αὐτῶν ὁ θάνατος, ἀλλὰ νόημά ἐστιν ἀθανάτου προσηγορίας, ἢ κενὸν ἔργον, ἢ κατὰ στέρησιν τοῦ πρώτου γράμματος ὁ λεγόμενος θάνατος ἀντὶ τοῦ ἀθάνατος· ὁ γὰρ θάνατος ἀπωλείας ἐστίν, οὐδὲν δὲ τῶν ἐν τῷ κόσμῳ ἀπόλλυται· εἰ γὰρ δεύτερος θεὸς ὁ κόσμος καὶ ζῶον ἀθάνατον, ἀδύνατόν ἐστι τοῦ ἀθανάτου ζώου μέρος τι ἀποθανεῖν· πάντα δὲ τὰ ἐν τῷ κόσμῳ μέρη ἐστὶ τοῦ κόσμου, μάλιστα δὲ ὁ ἄνθρωπος, τὸ λογικὸν ζῶον.

1. Ἑρμοῦ τοῦ τρισμεγίστου om. B. 2—4. ἀλλὰ — ἄνθρωποι om. Patr. 4. οἱ ἄνθρωποι om. B. 8. θανάτου Patr. 9. πρωτέρου Patr. 10. ὁ ante λεγόμενος] sic B, om. reliqui. 14. μέλη Patr.

Hermetis Trismegisti, quod nullum entium pereat, sed mutationes decepti homines abolitiones et interitus dicant.

De anima et corpore, o fili, nunc est dicendum, quomodo nempe anima sit immortalis, actio vero unde sit constitutionis corporis et solutionis. circa namque horum nullum mors est, sed conceptio est appellationis immortalis, vel vanum opus, vel per privationem primae litterae dicta est *θάνατος* mors pro *ἀθάνατος* immortalis. mors enim perditionis est, nullum autem eorum quae in mundo sunt perit. nam si secundus deus est mundus et animal immortale, impossibile est immortalis animalis partem aliquam interire; omnes vero in mundo partes sunt mundi, maxime vero homo, rationale

πρῶτος γὰρ πάντων ὄντως καὶ αἴδιος καὶ ἀγέννητος ὁ 2
δημιουργὸς τῶν ὅλων θεός. δεύτερος δὲ ὁ κατ' εἰκόνα αὐτοῦ ὁ κόσμος, ὑπ' αὐτοῦ γενόμενος καὶ ὑπ' αὐτοῦ συνεχόμενος καὶ τρεφόμενος καὶ ἀθανατιζόμενος, ὡς ὑπὸ ἰδίου πατρός, ἀεὶ ζῶν ὡς ἀθάνατος. τὸ γὰρ ἀείζωον τοῦ ἀιδίου διαφέρει. ὁ μὲν γὰρ ὑπὸ ἑτέρου οὐκ ἐγένετο· εἰ δὲ καὶ ἐγένετο, ὑφ' ἑαυτοῦ οὔποτε ἐγένετο, ἀλλ' ἀεὶ γίνεται. τὸ γὰρ αἴδιον, ᾗ αἴδιόν ἐστι, τὸ πᾶν. ὁ δὲ πατὴρ αὐτὸς ἀφ' ἑαυτοῦ αἴδιος, ὁ δὲ κόσμος ὑπὸ τοῦ πατρὸς αἴδιος καὶ ἀθάνατος γέγονε.

Καὶ ὅσον ἦν τῆς ὕλης ἀποκείμενον ὑπ' αὐτόν, τὸ πᾶν 3
ὁ πατὴρ σωματοποιήσας καὶ ὀγκώσας ἐποίησε σφαιροειδὲς τοῦτο, αὐτῷ τὸ ποιὸν περιθείς, οὖσαν καὶ αὐτὴν ἀθάνατον καὶ ἔχουσαν αἴδιον τὴν ὑλότητα. πλήρης δὲ

1. ὄντως om. Patr. 3. ὁ κόσμος] sic Patr., om. reliqui. 5. ἀιδίου Turn. Patr. || ἀεὶ ζῶν] sic B Patr., ἀείζωον reliqui. || post ἀθάνατος Patr. add. ἐστὶ μὲν ἀεὶ ζῶν, καὶ ἀεὶ ἀθάνατος. 7. οὔποτε] ποτὲ Patr. || post ἐγένετο Patr. add. καὶ οὐκ ὑπ' ἄλλου ᾖ. 8. ᾗ] sic Patr., οὗ reliqui. 9. ἀφ'] sic Patr., om. reliqui. 10. αἴδιος] ἀείζωος Fluss., ἀειζῶν Patr. 11. ὑπ' αὐτόν] ὑφ' αὑτόν Patr., ἐν ἑαυτῷ Tied., τῷ ἑαυτοῦ reliqui. 13. τοῦτο] sic B Patr., τούτῳ reliqui. || αὐτῇ Patr. || τὸ ποιὸν] legendum videtur τὴν ποιότητα. 14. πλήρης] sic Patr., πλὴν Tied., πλέον reliqui.

animal. primus enim re vera omnium est et aeternus et ingenitus opifex universorum deus. secundus vero per imaginem eius mundus ab eo factus et ab ipso contentus et nutritus et immortalitate donatus, utpote ab ipso patre, semper vivens ut immortalis. nam semper vivens ab aeterno differt. nam alter ab alio non est factus; quod si et factus est, a se ipso nunquam est factus, sed semper fit. aeternum enim, qua aeternum, est universum. pater vero ipse a se ipso aeternus, mundus vero a patre aeternus et immortalis factus est.

Et quantum materiae erat semotum sub eum, pater universum corpus faciens et coacervans globosum effinxit, qualitatem ipsi circumponens, quae et ipsa erat immortalis et aeternam habebat materietatem. et idearum plenus qualitates pater inseminans sphae-

τῶν ἰδεῶν τὰ ποιὰ ὁ πατὴρ ἐγκατασπείρας τῇ σφαίρᾳ ὥσπερ ἐν ἄντρῳ κατέκλεισε, πάσῃ ποιότητι κοσμῆσαι βουλόμενος τὸ μετ' αὐτοῦ ποιόν· τῇ δὲ ἀθανασίᾳ περιβαλὼν τὸ πᾶν σῶμα, ἵνα μὴ ἡ ὕλη τῆς τούτου συστάσεως θελήσασα ἀποστῆναι διαλυθῇ εἰς τὴν ἑαυτῆς ἀταξίαν. ὅτε γὰρ ἦν ἀσώματος ἡ ὕλη, ὦ τέκνον, ἄτακτος ἦν· ἔχει δὲ καὶ ἐνθάδε τὴν περὶ τὰ ἄλλα μικρὰ ποιὰ εἱλουμένην, τὸ τῆς αὐξήσεως καὶ τὸ τῆς μειώσεως, ὃν θάνατον οἱ
4 *ἄνθρωποι καλοῦσιν. αὕτη δὲ ἡ ἀταξία περὶ τὰ ἐπίγεια ζῷα γίνεται. τῶν γὰρ οὐρανίων τὰ σώματα μίαν τάξιν ἔχει, ἣν εἴληχεν ἀπὸ τοῦ πατρὸς τὴν ἀρχήν· τηρεῖται δὲ αὕτη ὑπὸ τῆς ἑκάστου ἀποκαταστάσεως ἀδιάλυτος· ἡ δὲ ἀποκατάστασις τῶν ἐπιγείων σωμάτων σύστασις, ἡ δὲ διάλυσις αὐτὴ ἀποκαθίσταται εἰς τὰ ἀδιάλυτα σώματα, τοῦτ' ἔστι τὰ ἀθάνατα· καὶ οὕτω στέρησις γίνεται τῆς αἰσθήσεως, οὐκ ἀπώλεια τῶν σωμάτων.*

5 *Τὸ δὲ τρίτον ζῷον, ὁ ἄνθρωπος κατ' εἰκόνα τοῦ*

2. *ἄντρῳ*] *κύκλῳ* Patr. || *πᾶσαν ποιότητα* B. 4. *μὴ ὕλη καὶ τῆς* A Turn. 7. *τὴν*] *τινὰ* Fluss. 9. *περὶ*] *ἐπὶ* Turn. 13. *σύστασις*] sic Patr., *συστάσεως* reliqui. 17. *τρίτον ζῷον, ὁ ἄνθρωπος*] cap. 9, 12. homo non tertio sed secundo loco ponitur.

rae tamquam in antro inclusit, omni qualitate ornare volens quod cum ipso erat quale; immortalitate circumdans totum corpus, ne materia ab eius constitutione volens secedere dissolveretur in ipsius confusionem. quando enim incorporea erat materia, o fili, inordinata erat; habet vero et hic circa alia parva qualia eandem revolutam [confusionem], ea quae dicitur accretio et deminutio, quam homines mortem vocant. haec vero inordinatio circa terrena fit animalia. nam caelestium corpora unum habent ordinem, quem a patre sunt sortita a principio; servatur autem hic a cuiusque instauratione indissolutus; restauratio autem terrenorum corporum constitutio est, dissolutio vero ipsa restauratio in corpora quae non dissolvuntur, hoc est immortalia; atque ita privatio fit sensus, non autem perditio corporum.

Tertium vero animal, homo ipse ad imaginem mundi factus,

κόσμου γενόμενος, νοῦν κατὰ βούλησιν τοῦ πατρὸς ἔχων παρὰ τὰ ἄλλα ἐπίγεια ζῶα, οὐ μόνον πρὸς τὸν δεύτερον θεὸν συμπάθειαν ἔχει, ἀλλὰ καὶ ἔννοιαν τοῦ πρώτου· τοῦ μὲν γὰρ αἰσθάνεται ὡς σώματος, τοῦ δὲ ἔννοιαν λαμβάνει ὡς ἀσωμάτου καὶ νοῦ τοῦ ἀγαθοῦ.

Τάτ. Τοῦτο οὖν οὐκ ἀπόλλυται τὸ ζῶον;

Ἑρμῆς. Εὐφήμησον, ὦ τέκνον, καὶ νόησον τί θεός, τί κόσμος, τί ζῶον ἀθάνατον, τί ζῶον διαλυτόν· καὶ νόησον ὅτι ὁ μὲν κόσμος ὑπὸ τοῦ θεοῦ καὶ ἐν τῷ θεῷ, ὁ δὲ ἄνθρωπος ὑπὸ τοῦ κόσμου καὶ ἐν τῷ κόσμῳ· ἀρχὴ δὲ καὶ περιοχὴ καὶ σύστασις πάντων ὁ θεός.

1. νοῦν] sic Fluss., καὶ B, οὐ A Turn. Patr. 2. post ζῶα margo B add. ἅπερ ἔχει. 3. ἔχει] sic B, ἔχων ceteri. 4. αἴσθεται AB.

mentem ex voluntate patris habens praeter alia terrena animalia, non solum cum secundo deo sympathiam habet, sed etiam intelligentiam primi; nam illud quidem sentit ut corpus, illius vero intelligentiam recipit ut incorporei et mentis bonae.

Tat. Hoc ergo animal non perit?

Hermes. Bene ominare, o fili, et intellige quid deus, quid mundus, quid animal immortale, quid animal dissolubile; et intellige mundum esse a deo et in deo, hominem vero a mundo et in mundo; principium vero et comprehensio et constitutio omnium deus.

9 Ἑρμοῦ τοῦ τρισμεγίστου περὶ νοήσεως καὶ αἰσθήσεως, καὶ ὅτι ἐν μόνῳ τῷ θεῷ τὸ καλὸν καὶ τὸ ἀγαθόν ἐστιν, ἀλλαχόθι δὲ οὐδαμοῦ.

1 Χθές, ὦ Ἀσκληπιέ, τὸν τέλειον ἀποδέδωκα λόγον, νῦν δὲ ἀναγκαῖον ἡγοῦμαι ἀκόλουθον ἐκείνῳ καὶ τὸν περὶ αἰσθήσεως λόγον διεξελθεῖν. αἴσθησις γὰρ καὶ νόησις διαφορὰν μὲν δοκοῦσιν ἔχειν, ὅτι ἡ μὲν ὑλική ἐστιν, ἡ δὲ οὐσιώδης· ἐμοὶ δὲ δοκοῦσιν ἀμφότεραι ἡνῶσθαι καὶ μὴ διαιρεῖσθαι ἐν ἀνθρώποις λόγῳ. ἐν γὰρ τοῖς ἄλλοις ζώοις ἡ αἴσθησις τῇ φύσει ἥνωται, ἐν δὲ ἀνθρώποις ἡ νόησις. νοήσεως δὲ ὁ νοῦς διαφέρει τοσοῦτον ὅσον ὁ θεὸς θειότητος. ἡ μὲν γὰρ θειότης ὑπὸ τοῦ θεοῦ γίνεται, ἡ δὲ νόησις ὑπὸ τοῦ νοῦ, ἀδελφὴ οὖσα τοῦ λό-

1. Ἑρμοῦ τοῦ τρισμεγίστου om. B. 2 — 4. καὶ αἰσθήσεως — οὐδαμοῦ om. Patr. 2. καὶ ante ὅτι om. B. 3. τὸ ante ἀγαθόν om. B. 7. νόησις] sic Verg. Fluss. Patr., κίνησις ceteri. 10. λόγῳ] sic A Turn., λέγω ceteri. 12. δὲ om. A. || διαφέρεται Patr. 14. νοῦ] ἀνθρώπου A. || ἀδελφὸς A.

Hermetis Trismegisti de intellectu et sensu, et quod in solo deo pulchrum ac bonum, alibi vero nusquam.

Heri, o Asclepi, perfectum edidi sermonem, nunc vero necessarium puto, consequenter illi etiam de sensu disserere. sensus namque et intellectio differentiam videntur habere, quod quidem ille materialis sit, haec vero essentialis; mihi vero videntur utraque unita esse neque dividi in hominibus ratione. nam in aliis animalibus sensus naturae est unitus, in hominibus vero intellectio. ab intellectione intellectus differt tantum quantum deus a divinitate. divinitas enim a deo fit, intellectio vero ab intellectu, soror existens orationis, et sunt organa sibi invicem. neque enim sermo voce ef-

γου, καὶ ὄργανα ἀλλήλων. οὔτε γὰρ ὁ λόγος ἐκφωνεῖται
χωρὶς νοήσεως, οὔτε ἡ νόησις φαίνεται χωρὶς λόγου. ἡ 2
οὖν αἴσθησις καὶ ἡ νόησις ἀμφότεραι εἰς τὸν ἄνθρωπον συνεπεισρέουσιν, ἀλλήλαις ὥσπερ συμπεπλεγμέναι. οὔτε γὰρ χωρὶς αἰσθήσεως δυνατὸν νοῆσαι οὔτε αἰσθέσθαι χωρὶς νοήσεως. δυνατὸν δὲ νόησιν χωρὶς αἰσθήσεως νοεῖσθαι, καθάπερ οἱ διὰ τῶν ὀνείρων φανταζόμενοι ὁράματα· ἐμοὶ δὲ δοκεῖ τὸ γεγονέναι ἀμφοτέρας τὰς ἐνεργείας ἐν τῇ τῶν ὀνείρων ὄψει, τὴν δ' αἴσθησιν ἐξ ὕπνου εἰς ἐγρήγορσιν ἐγείρεσθαι· διῄρηταί γε ὁ ἄνθρωπος εἴς τε τὸ σῶμα καὶ εἰς τὴν ψυχήν· καὶ ὅταν ἀμφότερα τὰ μέρη τῆς αἰσθήσεως πρὸς ἄλληλα συμφωνήσῃ, τότε τὴν
νόησιν ἐκφωνεῖσθαι ἀποκυηθεῖσαν ὑπὸ τοῦ νοῦ. ὁ γὰρ 3
νοῦς κύει πάντα τὰ νοήματα, ἀγαθὰ μέν, ὅταν ὑπὸ τοῦ θεοῦ τὰ σπέρματα λάβῃ, ἐναντία δέ, ὅταν ὑπό τινος τῶν δαιμονίων· μηδενὸς μέρους τοῦ κόσμου κενοῦ ὄντος δαί-

1. *καὶ*] *ἢ* AB. 5. *δύναται* Turn. || *αἰσθῆναι* A. 6. post *νοήσεως* margo B add. *γράφεται· δυνατὸν δὲ καὶ χωρὶς αἰσθήσεως νοεῖν.* 8. *τὸ* om. Patr. 9. 10. *τὴν δ' αἴσθησιν — ἐγείρεσθαι*] sic Patr., *ἐγρηγορόσι γὰρ αἴσθησις* (*αἰσθήσει*) ceteri. 10. *ὁ ἄνθρωπος*] sic Patr., om. ceteri. 13. *ἐκφαίνεσθαι* Tied. 15. *τινος τῶν*] *τινων* A Patr.

fertur sine intellectione, neque intellectio fit palam sine oratione. sensus ergo et intellectio ambo in hominem simul influunt, velut inter se connexa. neque enim sine sensu possibile est intelligere neque sentire sine intellectione. possibile tamen est intellectionem sine sensu intelligere, quemadmodum ii, qui per somnia phantasmata vident; mihi autem videntur ambae actiones factae esse in somniorum visione, sensum vero ex somno in vigiliam excitari. dividitur autem homo in corpus et animam; et quando utraque pars sensus ad invicem consonabunt, tunc intellectionem pronunciari parturitam ab intellectu. intellectus enim omnes intellectiones concipit, bonas quidem, quando a deo semina acceperit, contrarias vero, quando a daemonibus; nulla namque mundi pars daemonis vacua est, daemonis inquam a deo segregati; qui subintrans seminavit suae pro-

μονος, τῷ ἀπὸ τοῦ θεοῦ κεχωρίσθαι δαίμονα· ὅστις ὑπεισελθὼν ἔσπειρε τῆς ἰδίας ἐνεργείας τὸ σπέρμα, καὶ ἐκύησεν ὁ νοῦς τὸ σπαρέν, μοιχείας, φόνους, πατροτυπίας, ἱεροσυλίας, ἀσεβείας, ἀγχόνας, κατὰ κρημνῶν καταφορὰς καὶ ἄλλα πάντα ὅσα κακῶν δαιμόνων ἔργα.

4 *Τοῦ γὰρ θεοῦ τὰ σπέρματα ὀλίγα, μεγάλα δὲ καὶ καλὰ καὶ ἀγαθά, ἀρετὴ καὶ σωφροσύνη καὶ εὐσέβεια· εὐσέβεια δέ ἐστι θεοῦ γνῶσις, ὃν ὁ ἐπιγνοὺς πλήρης γενόμενος πάντων τῶν ἀγαθῶν, τὰς νοήσεις θείας ἴσχει, καὶ οὐ τοῖς πολλοῖς ὁμοίας. διὰ τοῦτο οἱ ἐν γνώσει ὄντες οὔτε τοῖς πολλοῖς ἀρέσκουσιν οὔτε οἱ πολλοὶ αὐτοῖς· μεμηνέναι δὲ δοκοῦσι καὶ γέλωτα ὀφλισκάνουσι μισούμενοί τε καὶ καταφρονούμενοι καὶ τάχα που καὶ φονευόμενοι. τὴν γὰρ κακίαν ἐνθάδε δεῖν οἰκεῖν εἴπομεν ἐν τῷ ἑαυτῆς χωρίῳ οὖσαν. χωρίον γὰρ αὐτῆς ἡ γῆ, οὐχ ὁ κόσμος, ὡς ἔνιοί ποτε ἐροῦσι βλασφημοῦντες. ὁ μέντοι θεοσεβὴς ἄνθρωπος πάντα ὑποστήσει αἰσθόμενος*

1. *τῷ ἀπὸ τοῦ θεοῦ κεχωρισθῆναι* (leg. *κεχωρίσθαι*) *δαίμονα*] sic Tied., *τῷ ὑπὸ τοῦ θεοῦ πεφωτισμένῳ δαίμονι* AB Turn. Fluss, om. Patr. 5. *κακῶν*] sic Patr., om. ceteri. 6. *δὲ*] sic AB, *μὲν* editi. 14. *ἐν*] sic Patr., om. ceteri. 17. *ἄνθρωπος*] sic Patr., om. ceteri. || *ὑποστήσεται* B.

priae actionis semen, et enixa est mens quod satum fuerat, adulteria, homicidia, parricidia, sacrilegia, impietates, suffocationes; per praerupta praecipitationes aliaque omnia quaecunque sunt malorum daemonum opera.

Dei namque semina pauca, magna quidem et pulchra et bona, virtus et temperantia et pietas; pietas vero est dei cognitio, quem qui agnoscit, repletus omnibus bonis, intellectiones divinas habet, et non similes vulgaribus. ob id ii, qui in ea cognitione sunt, neque turbae placent neque turba ipsis; furere vero videntur et risum concitant, odio habiti et contemptui, et forsitan etiam occiduntur. nequitiam enim hic oportere habitare diximus, in propria cum fit regione. regio enim eius terra est, non ipse mundus, sicuti aliqui aliquando dicent blasphemantes. sed homo deo devotus omnia con-

τῆς γνώσεως. πάντα γὰρ τῷ τοιούτῳ, κἂν τοῖς ἄλλοις τὰ κακά, ἀγαθά ἐστι· καὶ βουλευόμενος πάντα ἀναφέρει εἰς τὴν γνῶσιν. καὶ τὸ θαυμαστόν, τὰ κακὰ μόνος ἀγαθοποιεῖ.

Ἐπάνειμι πάλιν ἐπὶ τὸν αἰσθήσεως λόγον. ἀνθρώ- 5
πινον οὖν τὸ κοινωνῆσαι ἀνθρώπῳ αἴσθησιν νοήσει. οὐ πᾶς δὲ ἄνθρωπος, ὡς προεῖπον, ἀπολαύει τῆς νοήσεως, ἀλλ' ὁ μὲν ὑλικὸς ὁ δὲ οὐσιώδης. ὁ μὲν γὰρ μετὰ κακίας ὑλικός, ὡς ἔφην, ἀπὸ τῶν δαιμόνων τὸ σπέρμα τῆς νοήσεως ἴσχει· οἱ δὲ μετὰ τοῦ ἀγαθοῦ οὐσιωδῶς ὑπὸ τοῦ θεοῦ σωζόμενοι. ὁ μὲν γὰρ θεὸς πάντων δημιουργός· δημιουργῶν πάντα ποιεῖ μὲν ἑαυτῷ ὅμοια· ταῦτα δ' ἀγαθὰ γενόμενα ἐν τῇ χρήσει τῆς ἐνεργείας ἄφορα· ἡ γὰρ κοσμικὴ φορὰ τρίβουσα τὰς γενέσεις ποιὰς ποιεῖ, τὰς μὲν ῥυπαίνουσα τῇ κακίᾳ, τὰς δὲ καθαίρουσα τῷ ἀγαθῷ. καὶ γὰρ ὁ κόσμος, ὦ Ἀσκληπιέ, αἴσθησιν ἰδίαν

2. βουλευόμενος] sic Patr., ἐπιβουλευόμενος ceteri. 3. τὸ θαυμαστόν] sic Patr., om. ceteri. 6. ἄνθρωπον B Turn., om. Patr. errore typogr. || αἴσθησιν om. B Turn. 8. μὲν ante γὰρ om. A. 9. ὑλικῶς B. || ante ἀπὸ Patr. add. καὶ. 10. 11. οὐσιωδεῖς et σώζονται Tied. 12. post δημιουργῶν Patr. add. φύσει χρῆται ὁ θεός. 13. ἄφορα] sic Vergic. Patr., ἀφορᾷ ceteri. 16. ἰδίᾳ A.

temnet cognitionem percipiens. omnia enim huic, quamvis aliis sint mala, bona sunt; et consilio nixus cuncta in cognitionem refert, et quod mirandum est, solus mala efficit bona.

Redeo rursus ad sermonem de sensu. humanum ergo est communicare sensum intellectione. non tamen omnis homo, ut ante dixi, fruitur intelligentia, nam hic quidem materialis est alius essentialis. is enim, qui nequam est materialis, ut dixi, a daemonibus semen intelligentiae obtinet; qui vero cum bono essentialiter sunt a deo servantur. nam deus conditor omnium cum sit, condens omnia facit quidem sibi similia; haec tamen genita bona in operationis usu sterilia; mundana enim latio generationes atterens quales facit, alias quidem foedans nequitia, alias vero purgans bono. et mundus, Asclepi, sensum proprium et intelligentiam habet, non similem hu-

καὶ νόησιν ἔχει, οὐχ ὁμοίαν τῇ ἀνθρωπείᾳ, οὐδὲ ὡς ποι-
6 *κίλην, ἀλλ' ὡς κρείττω καὶ ἁπλουστέραν. ἡ γὰρ αἴσθη-*
σις καὶ νόησις τοῦ κόσμου μία ἐστὶ τῷ πάντα ποιεῖν καὶ εἰς ἑαυτὴν ἀποποιεῖν, ὄργανον τῆς τοῦ θεοῦ βουλήσεως, καὶ οὕτως ὀργανοποιηθέν, ἵνα πάντα παρ' ἑαυτῷ ἀπὸ τοῦ θεοῦ λαβὼν τὰ σπέρματα φυλάττων ἐν ἑαυτῷ, πάντα ποιῇ ἐναργῶς καὶ διαλύων πάντα ἀνανεοῖ· καὶ διὰ τοῦτο λυθέντα, ὥσπερ ἀγαθὸς ζωῆς γεωργός, τῇ μεταβολῇ ἀνανέωσιν αὐτοῖς φυομένοις παρέχει. οὐκ ἔστιν ὃ μὴ ζωογονεῖ. φερόμενος δὲ πάντα ζωοποιεῖ, καὶ ὁμοῦ τόπος ἐστὶ καὶ δημιουργὸς ζωῆς.

7 *Τὰ δὲ σώματα ἀπὸ ὕλης ἐν διαφορᾷ. τὰ μὲν γάρ ἐστιν ἐκ γῆς, τὰ δὲ ἐξ ὕδατος, τὰ δὲ ἐξ ἀέρος, τὰ δὲ ἐκ πυρός· πάντα δέ ἐστι σύνθετα, καὶ τὰ μὲν μᾶλλον, τὰ δὲ ἁπλούστερα· μᾶλλον μὲν τὰ βαρύτερα, ἧττον δὲ τὰ κουφότερα. τὸ δὲ τάχος αὐτοῦ τῆς φορᾶς τὴν ποικιλίαν τῶν ποιῶν γενέσεων ἐργάζεται. πνοὴ γὰρ οὖσα πυκνο-*

1. *νόησιν*] *κίνησιν* AB Turn. 2. *ἀλλ' ὡς*] sic Patr., *ἄλλως δὲ καὶ* AB. 5. *οὕτως*] sic Patr., *ὄντι* B, *ὄντως* reliqui. 8. *μεταβολῇ*] sic AB, *καταβολῇ* reliqui. 9. *φυομένοις*] sic Patr., *φερόμενος* reliqui. || *παρέχῃ* AB. 13. *ἐκ τῆς γῆς* A.

manae, neque tam variam, sed praestantiorem et simpliciorem. sensus enim et intelligentia mundi una est eo, quod omnia facit et in se ipsam destruit, cum organum sit voluntatis dei, et sic est organizata, ut omnia apud se a deo recipiens semina et in se conservans, omnia faciat manifeste et dissolvens renovet; et ob id dissoluta, tamquam bonus vitae agricola, mutatione renovationem ipsis natis praebet. non est, quod non vivum gignat. proferens vero omnia vivificat, et simul locus est et conditor vitae.

Corpora vero a materia in differentia sunt. nam alia sunt e terra, alia ex aqua, alia ex aëre, alia ex igne; omnia vero sunt composita, alia plus, alia sunt simpliciora; plus quidem graviora, minus vero leviora. velocitas vero eius lationis varietatem qualium efficit generationum. nam flatus densus cum sit, protendit qualitates corporibus cum una plenitudine vitae. pater quidem deus est mundi,

τάτη προτείνει τὰ ποιὰ τοῖς σώμασι μετὰ ἑνὸς πληρώματος τοῦ τῆς ζωῆς. πατὴρ μὲν οὖν ἔστιν ὁ θεὸς τοῦ 8 *κόσμου, ὁ δὲ κόσμος τῶν ἐν τῷ κόσμῳ. καὶ ὁ μὲν κόσμος υἱὸς τοῦ θεοῦ, τὰ δὲ ἐν τῷ κόσμῳ ὑπὸ τοῦ κόσμου. καὶ εἰκότως κόσμος κέκληται. κοσμεῖ γὰρ τὰ πάντα τῇ ποικιλίᾳ τῆς γενέσεως καὶ τῷ ἀδιαλείπτῳ τῆς ζωῆς καὶ ἀκοπιάστῳ τῆς ἐνεργείας καὶ τῷ τάχει τῆς ἀνάγκης καὶ τῇ συστάσει τῶν στοιχείων καὶ τῇ τάξει τῶν γινομένων. ὁ αὐτὸς οὖν κόσμος καὶ ἀναγκαίως καὶ οἰκείως καλοῖτο. πάντων οὖν τῶν ζώων καὶ ἡ αἴσθησις καὶ ἡ νόησις ἔξωθεν ἐπεισέρχεται, εἰσπνέουσα ὑπὸ τοῦ περιέχοντος· ὁ δὲ κόσμος ἅπαξ λαβὼν ἅμα τῷ γενέσθαι, ὑπὸ τοῦ θεοῦ λαβὼν ἔχει.*

Ὁ δὲ θεὸς οὐχ ὥσπερ ἐνίοις δοκεῖ ἀναίσθητός ἐστι 9 *καὶ ἀνόητος. ὑπὸ γὰρ δεισιδαιμονίας βλασφημοῦσι. πάντα γὰρ ὅσα ἐστίν, ὦ Ἀσκληπιέ, ταῦτα ἐν τῷ θεῷ ἐστι καὶ ὑπὸ τοῦ θεοῦ γινόμενα καὶ ἐκεῖθεν ἠρτημένα· τὰ μὲν διὰ τῶν σωμάτων ἐνεργοῦντα, τὰ δὲ διὰ οὐσίας ψυχικῆς*

2. τοῦ ante τῆς om. Turn. Fluss. || ἔστιν] sic Patr., om. reliqui. 4. ὑπὸ om. Patr. 8. συστάσει] sic Fluss., συσκιάσει AB Turn., συμμίξει Patr. 10. ἡ ante νόησις om. A Turn. 14. δοκεῖ] sic Patr., δόξει reliqui. 18. τῶν om. AB.

mundus vero eorum quae sunt in mundo. et mundus quidem filius dei, quae vero in mundo ab ipso mundo. et iure mundus est appellatus; ornat enim omnia varietate generationis et indeficientia vitae et non defatigata operatione et necessitatis velocitate et elementorum constitutione et ordine generatorum. idem mundus et necessario et proprie vocetur. omnium ergo animalium et sensus et intellectio extrinsecus advenit, inspirata ab ambiente; mundus vero semel dum fieret, suscipiens a deo habet.

Deus autem non ut quibusdam videtur insensatus est et amens. superstitione enim blasphemant. omnia namque, o Asclepi, quae sunt, in deo sunt, et a deo cum fiant, inde pendent; alia per corpora operantur, alia per essentiam animariam movent, alia per spiritum vivificant, alia vero defessa suscipiunt. et id recta ratione;

κινοῦντα, τὰ δὲ διὰ πνεύματος ζωοποιοῦντα, τὰ δὲ τὰ κεκμηκότα ὑποδεχόμενα. καὶ εἰκότως· μᾶλλον δὲ λέγω, ὅτι οὐκ αὐτὸς αὐτὰ ἔχει, ἀλλὰ τὸ ἀληθὲς ἀποφαίνομαι, αὐτὸς ἅπαντά ἐστιν· οὐκ ἔξωθεν αὐτὰ προσλαμβάνων, ἔξω δὲ ἐπιδιδούς. καὶ τοῦτό ἐστιν ἡ αἴσθησις καὶ ἡ νόησις τοῦ θεοῦ, τὸ τὰ πάντα ἀεὶ κινεῖν· καὶ οὐκ ἔσται ποτὲ χρόνος, ὅτε ἀπολειφθήσεταί τι τῶν ὄντων· ὅταν δὲ λέγω τῶν ὄντων, λέγω τοῦ θεοῦ. τὰ γὰρ ὄντα ὁ θεὸς ἔχει, καὶ οὔτε αὐτοῦ οὐδὲν ἐκτὸς οὔτε αὐτὸς ἐκτὸς οὐδενός.

10 *Ταῦτά σοι, Ἀσκληπιέ, ἐννοοῦντι ἀληθῆ δόξειεν, ἀγνοοῦντι δὲ ἄπιστα. τὸ γὰρ νοῆσαί ἐστι τὸ πιστεῦσαι, τὸ ἀπιστῆσαι δὲ τὸ μὴ νοῆσαι. ὁ γὰρ λόγος μου φθάνει μέχρι τῆς ἀληθείας, ὁ δὲ νοῦς μέγας ἐστὶ καὶ ὑπὸ τοῦ λόγου μέχρι τινὸς ὁδηγηθείς, φθάνειν ἔχει τῆς ἀληθείας· καὶ περινοήσας τὰ πάντα καὶ εὑρὼν σύμφωνα τοῖς ὑπὸ τοῦ λόγου ἑρμηνευθεῖσιν ἐπίστευσε, καὶ ἐν τῇ καλῇ πίστει ἐπανεπαύσατο. τοῖς οὖν τὰ προειρημένα ὑπὸ τοῦ θεοῦ νοήσασι μὲν πιστά, μὴ νοήσασι δὲ ἄπι-*

9. *ἐκτὸς* ante *οὐδενός*] sic Patr., om. reliqui. 13. *μου*] sic Λ, *μοι* reliqui. 17. *ἐν*] sic Patr., om. reliqui.

quin etiam dico, ne ipsum quidem ea habere, sed verum pronuncio, ipse omnia est; non extrinsecus ea suscipiens, sed extra largiens. et hic sensus et intellectio est dei, omnia semper movere; et non erit unquam tempus, quando deficiet aliquid entium; quando vero dico entium, dico dei. entia enim deus habet, neque extra ipsum quidquam est neque ipse extra ullum.

Haec tibi, o Asclepi, intelligenti vera videbuntur, ignoranti vero incredibilia. nam intelligere est credere, non credere vero non intelligere est. sermo enim meus pertingit usque ad veritatem, intellectus vero magnus est et a sermone quadamtenus deductus pertingere potest ad veritatem; et animo excogitans cuncta et inveniens consona iis quae sermo est interpretatus, credidit, et in pulchra fide requievit. iis ergo qui praedicta a deo intellexerunt credibilia

στα. ταῦτα καὶ τοσαῦτα περὶ νοήσεως καὶ αἰσθήσεως λεγέσθω.

1. τοσαῦτα] τοιαῦτα Fluss. || καὶ αἰσθήσεως om. AB.

sunt, non intelligentibus vero incredibilia. haec et talia de intellectione et sensu dicta sunto.

Ἑρμοῦ τοῦ τρισμεγίστου κλείς, πρὸς τὸν υἱὸν αὐτοῦ Τάτ. 10

Τὸν χθὲς λόγον, ὦ Ἀσκληπιέ, σοὶ ἀνέθηκα, τὸν δὲ 1
σήμερον δίκαιόν ἐστι τῷ Τὰτ ἀναθεῖναι· ἐπεὶ καὶ τῶν γενικῶν λόγων τῶν πρὸς αὐτὸν λελαλημένων ἐστὶν ἐπιτομή. ὁ μὲν οὖν θεὸς καὶ πατὴρ καὶ τὸ ἀγαθόν, ὦ Τάτ, τὴν αὐτὴν ἔχει φύσιν, μᾶλλον δὲ καὶ ἐνέργειαν. ἡ μὲν γὰρ φύσεως καὶ αὐξήσεώς ἐστι προσηγορία, ἅπερ ἐστὶ περὶ τὰ μεταβλητὰ καὶ ἀμετάβλητα καὶ κινητὰ καὶ ἀκίνητα, τουτέστι τὰ θεῖά τε καὶ ἀνθρώπεια, ὧν ἕκαστον αὐτὸς βούλεται εἶναι. ἀλλαχοῦ δὲ ἐνέργεια, καθὼς καὶ

4. πρὸς τὸν υἱὸν αὐτοῦ Τάτ.] sic B, om. reliqui. 7. γενικῶν] sic Patr., ἐνικῶν reliqui. 11. καὶ ἀμετάβλητα] sic Patr., om. reliqui. 12. ἕκαστον] sic Patr., om. reliqui. 13. ἐνέργεια] sic Patr., ἐνέργειαν reliqui.

Hermetis Trismegisti clavis, ad filium suum Tat.

Hesternum sermonem, o Asclepi, tibi dicavi, hodiernum vero iustum est dicare Tat filio; quandoquidem etiam genericorum sermonum qui ad eum sunt habiti est epitome. deus igitur et pater et bonum, o Tat, eandem habent naturam, vel potius et actionem. nam altera naturae et accrementi est appellatio, quae sunt circa mutabilia et immutabilia, circa mobilia et immobilia, hoc est divina et humana, quorum quodque ipse vult esse. alibi vero est actio,

ἐπὶ τῶν ἄλλων ἐδιδάξαμεν θείων τε καὶ ἀνθρωπίνων· ἃ δεῖ νοεῖν ἐπὶ τούτου.

2 *Ἡ γὰρ τούτου ἐνέργεια ἡ θέλησίς ἐστι, καὶ ἡ οὐσία αὐτοῦ τὸ θέλειν πάντα εἶναι. τί γάρ ἐστι θεὸς καὶ πατὴρ καὶ τὸ ἀγαθὸν ἢ τὸ τῶν πάντων εἶναι οὐκ ἔτι ὄντων; ἀλλὰ ὕπαρξις αὐτὴ τῶν ὄντων τοῦτο ὁ θεός, τοῦτο ὁ πατήρ, τοῦτο τὸ ἀγαθόν, ᾧ μηδὲν πρόσεστι τῶν ἄλλων. ὁ μὲν γὰρ κόσμος καὶ ὁ ἥλιος τῶν κατὰ μετουσίαν καὶ αὐτὸς πατήρ· οὐκ ἔτι δὲ τοῦ ἀγαθοῦ τοῖς ζώοις ἴσως αἴτιός ἐστιν, οὐδὲ τοῦ ζῆν. εἰ δὲ τοῦτο οὕτως ἔχει, πάντως μέντοι ἀναγκαζόμενος ὑπὸ τοῦ ἀγαθοῦ θελήματος,*
3 *οὗ χωρὶς οὔτε εἶναι οὔτε γενέσθαι ἔσται δυνατόν. αἴτιος δὲ ὁ πατὴρ τῶν τέκνων καὶ τῆς σπορᾶς καὶ τῆς τροφῆς, τὴν ὄρεξιν λαβὼν τοῦ ἀγαθοῦ διὰ τοῦ ἡλίου. τὸ γὰρ ἀγαθόν ἐστι τὸ ποιητικόν. τοῦτο δὲ οὐ δυνατὸν ἐγγενέσθαι ἄλλῳ τινί, ἢ μόνῳ ἐκείνῳ τῷ μηδὲν μὲν λαμβάνοντι, πάντα δὲ θέλοντι εἶναι. οὐ γὰρ ἐρῶ, ὦ Τάτ, ποιοῦντι. ὁ γὰρ ποιῶν ἐλλιπής ἐστι πολλῷ χρόνῳ, ἐν ᾧ*

5. *ἢ τὸ τῶν*] *εἰ τούτων* B. 6. *ὕπαρξιν αὐτὴν* AB Patr. 12. *ἔσται* om. A Patr. 16. *μὲν* om. libri.

sicuti et in aliis docuimus divinis et humanis, quae oportet de hoc intelligere.

Huius enim actio voluntas est, et essentia ipsius velle omnia esse. quid enim est deus et pater et bonum quam omnium esse nondum entium? sed hyparxis ipsa entium hic deus est, hic pater, hoc bonum, cui aliorum nihil adest. nam mundus et sol eorum quae sunt per participationem pater; nondum tamen bonorum animalibus caussa est, neque vivendi. si vero hoc ita se habet, omnino coactus a bona voluntate, absque qua neque esse neque gigni erit possibile. caussa vero est pater filiorum et seminis et nutritionis, appetitum boni sumens a sole. bonum namque est ipsum activum. hoc vero non alii cuiquam inesse potest, nisi soli illi qui nihil accipit, omnia tamen vult esse. non enim dicam, o Tat, facere. nam factor defectivus est multo tempore, quo aliquando facit aliquando

ὁτὲ μὲν ποιεῖ ὁτὲ δὲ οὐ ποιεῖ, καὶ ποιότητος καὶ ποσότητος. ποτὲ μὲν γὰρ ποσὰ καὶ ποιά, ὁτὲ δὲ τὰ ἐναντία. ὁ δὲ θεὸς καὶ πατὴρ καὶ τὸ ἀγαθὸν τῷ εἶναι τὰ πάντα. οὕτως ἄρα ταῦτα τῷ δυναμένῳ ἰδεῖν. καὶ γὰρ τοῦτο 4
θέλει εἶναι, καὶ ἔστι καὶ αὐτό, μάλιστα δὲ αὐτῷ. καὶ γὰρ τὰ ἄλλα πάντα διὰ τοῦτο ἔστιν. ἴδιον γὰρ τοῦ ἀγαθοῦ τὸ γνωρίζεσθαι· τοῦτό ἐστι τὸ ἀγαθόν, ὦ Τάτ.

Τάτ. Ἐπλήρωσας ἡμᾶς, ὦ πάτερ, τῆς ἀγαθῆς καὶ καλλίστης θέας· καὶ ὀλίγου δεῖν ἐσεβάσθη μου ὁ τοῦ νοῦ ὀφθαλμὸς ὑπὸ τῆς τοιαύτης θέας· οὐ γὰρ ὥσπερ ἡ τοῦ ἡλίου ἀκτὶς πυρώδης οὖσα καταυγάζει καὶ μύειν ποιεῖ τοὺς ὀφθαλμούς· οὕτω καὶ ἡ τοῦ ἀγαθοῦ θέα· τοὐναντίον δὲ ἐκλάμπει, καὶ ἐπὶ τοσοῦτον τὸ τοῦ ὀφθαλμοῦ φῶς αὐξάνει, ἐφ' ὅσον δύναται ὁ δυνάμενος δέξασθαι τὴν ἐπεισροὴν τῆς νοητῆς λαμπηδόνος. ὀξυτέρα μὲν γάρ ἐστιν εἰς τὸ καθικνεῖσθαι, ἀβλαβὴς δὲ καὶ πάσης ἀθανασίας ἀνάπλεως. οἱ δυνάμενοι πλέον τι ἀρύσασθαι τῆς 5

5. *αὐτό*] *αὐτῷ* AB Patr. || *αὐτῷ*] *αὐτό* AB Patr. 6. *τοῦτο*] sic Patr., *τοῦτον* reliqui. 7. *τοῦτο*] sic Patr., om. reliqui. 8. *ἡμᾶς* om. B. 10. ante *οὐ γὰρ* Ficinus in versione latina add. Tr., et infra p. 70. v. 3. ante *εἴθε καὶ ἡμεῖς* add. Tat. 13. *ἐκλάμπειν* A. 13. 14. *τὸ τοῦ — αὐξάνει*] sic Patr., om. reliqui. 16. *δὲ πάσης καὶ* Patr. 17. post *ἀνάπλεως* libri add. *ἦν*, expunxit Tied.

non [illegible] et qualitatis et quantitatis. quandoque enim quanta et qual[illegible]s vero contraria. deus autem et pater et bonum eo ipso quod omnia est. ita igitur haec omnia ei qui videre potest. etenim hoc vult esse et est et maxime sibi. etenim alia omnia propter hoc sunt. proprium enim boni est, ut cognoscatur. hoc est bonum, o Tat.

Tat. Replesti nos, o pater, bono et pulcherrimo spectaculo; et fere sanctior est factus meae mentis oculus tali spectaculo; non enim sicuti solis radius igneus existens illustrat et oculos perstringit, sic et boni spectaculum; illustrat enim, atque oculi lucem eo magis exauget, quo quis capere magis potest intelligibilis splendoris influxum. acutius enim est ad penetrandum, innocuum vero et im-

θέας κατακοιμίζονται πολλάκις ἀπὸ τοῦ σώματος εἰς τὴν καλλίστην ὄψιν, ὥσπερ Οὐρανὸς καὶ Κρόνος οἱ ἡμέτεροι πρόγονοι ἐντετυχήκασιν. εἴθε καὶ ἡμεῖς, ὦ πάτερ.

Ἑρμῆς. Εἴθε γάρ, ὦ τέκνον· νῦν δὲ ἔτι ἀτονοῦμεν πρὸς τὴν ὄψιν, καὶ οὔπω ἰσχύομεν ἀναπετάσαι ἡμῶν τοὺς τοῦ νοῦ ὀφθαλμοὺς καὶ θεάσασθαι τὸ κάλλος τοῦ ἀγαθοῦ ἐκείνου τὸ ἄφθαρτον, τὸ ἄληπτον. τότε γὰρ αὐτὸ ὄψει, ὅταν μηδὲν περὶ αὐτοῦ ἔχῃς εἰπεῖν. ἡ γὰρ γνῶσις αὐτοῦ καὶ θεία σιωπή ἐστι καὶ καταργία πασῶν
6 τῶν αἰσθήσεων. οὔτε γὰρ ἄλλο τι δύναται νοῆσαι ὁ τοῦτο νοήσας, οὔτε ἄλλο τι θεάσασθαι ὁ τοῦτο θεασάμενος, οὔτε περὶ ἄλλου τινὸς ἀκοῦσαι, οὔτε τὸ σύνολον σῶμα κινῆσαι. πασῶν γὰρ τῶν σωματικῶν αἰσθήσεών τε καὶ κινήσεων ἐπιλαβόμενος ἀτρεμεῖ. περιλάμψαν δὲ πάντα τὸν νοῦν καὶ τὴν ὅλην ψυχὴν ἀναλάμπει καὶ ἀνέλκει ἀπὸ τοῦ σώματος, καὶ ὅλον αὐτὸν εἰς οὐσίαν θεοῦ

1. ante ἀπὸ libri add. δὲ, expunxit Tied. || ἀπὸ] sic AB, ὑπὸ reliqui. 2. ὥσπερ] sic B Tied., ὅπερ A Turn. Patr., ὅσπερ Fluss., an ἧπερ? Velsenius. 5. οὔπω] sic Patr., οὕτως οὐκ A Turn. Fluss., οὐκ B. 8. ἔχομεν Patr. 9. θέα A Fluss. || καταρτία (sic) Vergic., ἀργία B. 12. ἄλλου] ἀνθρώπου Turn. 13. σῶμα] sic A, τὸ σῶμα reliqui. 14. ἐπιλυόμενος Patr. 16. ἀπὸ] sic Patr., διὰ reliqui. || θεοῦ] sic Patr., om. reliqui.

mortalitate plenum. qui possunt plus aliquid haurire spectaculi, obdormiunt multoties a corpore ad pulcherrimam visionem quod Caelus et Saturnus nostri progenitores sortiti sunt. utinam et nos, o pater.

Hermes. Utinam, o fili. nunc vero etiam minus intenti sumus ad visionem, et nondum valemus aperire mentis oculos, et contemplari pulchritudinem boni illius incorruptam, incomprehensibilem. tunc enim ipsam cernes, quando nihil de ea habeas dicere. cognitio namque ipsius divinum est silentium et omnium sensuum requies. neque enim quidquam aliud potest intelligere qui hoc intellexit, neque aliud quidquam speculari qui hoc vidit, neque de alio quoquam audire, neque omnino corpus movere. nimirum omnes corporis sensus et motus corripiens quiescit. circumlustrans vero totam

μεταβάλλει. δυνατὸν γάρ, ὦ τέκνον, τὴν ψυχὴν ἀποθεωθῆναι, ἐν σώματι ἀνθρώπου κειμένην, θεασαμένην τὸ τοῦ ἀγαθοῦ κάλλος.

Τάτ. Τὸ ἀποθεωθῆναι πῶς λέγεις, ὦ πάτερ; 7

Ἑρμῆς. Πάσης ψυχῆς, ὦ τέκνον, διαιρετῆς μεταβολαί.

Τάτ. Πῶς πάλιν διαιρετῆς;

Ἑρμῆς. Οὐκ ἤκουσας ἐν τοῖς γενικοῖς, ὅτι ἀπὸ μιᾶς ψυχῆς τῆς τοῦ παντὸς πᾶσαι αἱ ψυχαί εἰσιν αὗται, αἱ ἐν τῷ παντὶ κόσμῳ κυλινδούμεναι, ὥσπερ ἀπονενεμημέναι; τούτων τοίνυν τῶν ψυχῶν πολλαὶ αἱ μεταβολαί, τῶν μὲν εἰς τὸ εὐτυχέστερον, τῶν δὲ εἰς τὸ ἐναντίον. αἱ μὲν οὖν ἑρπετώδεις οὖσαι εἰς ἔνυδρα μεταβάλλονται, αἱ δὲ τῶν ἐνύδρων εἰς χερσαῖα, αἱ δὲ χερσαῖαι εἰς πτηνά,

1. *δυνατὸν*] sic Patr., *ἀδύνατον* reliqui. || *τὴν*] sic B, om. reliqui. 2. 3. *κειμένην* et *τὸ*] sic Patr., om. reliqui. 5. *διαίρεσις. Μεταβολάς* Patr. 6. *διαιρετῆς*] *διαιρεῖς* Patr. 7. sqq. apud Stobaeum, ecl. phys. I p. 1000 Heeren. 8. *αὗται, αἱ*] sic Stob., *αὗται* Patr, *αἵ τε* reliqui. || *τῷ* om. A. 9. *ἀπονενεμηκυῖαι* Patr., *ἀπονενεμηκέναι* Stob. 10. *τοίνυν* om. Patr. || *αἱ*] sic Patr., om. reliqui. 11. *εἰς ... εἰς*] sic Patr. Stob., *ἐπὶ ... ἐπὶ* reliqui. 11. 12. *αἱ μὲν οὖν ...*] *Ἑρμῆς ὁ τρισμέγιστος ἐκ νοημάτων τρισάθλιος πέφηνεν ἐκ τῶν δογμάτων* margo B. 12. *οὖν*] *γὰρ* Patr. Stob. 13. *πτηνά*] *πετεινά* Patr. Stob.

mentem et totam animam, illustrat et abstrahit a corpore, et totum ipsum in essentiam dei mutat. possibile enim est, o fili, animam deificari in corpore hominis, quae viderit boni pulchritudinem.

Tat. Quonam pacto id dicis, pater?

Hermes. Omnis anima, o fili, divisibilis mutatur.

Tat. Quomodo divisibilis?

Hermes. Non audisti in genericis, ab una anima universi omnes animas esse, per omnem mundum tamquam distributas circumcurrentes? harum animarum multae mutationes, partim sane in feliciorem, partim autem in contrarium statum. nam quae reptiles sunt in aquatilia mutantur, aquatilium vero in terrestria, terrestres autem

αἱ δὲ ἀέριαι εἰς ἀνθρώπους, αἱ δὲ ἀνθρώπειαι ἀρχὴν ἀθανασίας ἴσχουσιν εἰς δαίμονας μεταβάλλουσαι. εἶθ' οὕτως εἰς τὸν τῶν ἀπλανῶν θεῶν χορὸν χορεύουσι· χοροὶ δὲ δύο θεῶν, ὁ μὲν τῶν πλανωμένων ὁ δὲ τῶν
8 ἀπλανῶν· καὶ αὕτη ψυχῆς ἡ τελειοτάτη δόξα. ψυχὴ δὲ εἰς ἀνθρώπου σῶμα εἰσελθοῦσα ἐὰν κακὴ μείνῃ, οὔτε γεύεται ἀθανασίας οὔτε τοῦ ἀγαθοῦ μεταλαμβάνει· παλίσσυτος δὲ τὴν ὁδὸν ὑποστρέφει τὴν εἰς τὰ ἑρπετά. καὶ αὕτη καταδίκη ψυχῆς κακῆς· κακία δὲ ψυχῆς ἐστιν ἡ ἀγνωσία. ψυχὴ γὰρ μηδὲν ἐπιγνοῦσα τῶν ὄντων μηδὲ τὴν τούτων φύσιν μηδὲ τὸ ἀγαθόν, τυφλώττουσα ἐντινάσσεται τοῖς σωματικοῖς πάθεσι· καὶ ἡ κακοδαίμων ἀγνοήσασα ἑαυτὴν δουλεύει σώμασιν ἀλλοκότοις καὶ μοχθηροῖς, ὥσπερ φορτίον βαστάζουσα τὸ σῶμα, καὶ οὐκ ἄρχουσα, ἀλλ'

1. ἀρχὴν] sic Stob., om. reliqui. 2. ἴσχουσιν] sic Stob., ἔχουσαι B Turn., μετέχουσαι reliqui. || μεταβάλλουσαι] sic Stob., μεταβάλλονται reliqui. || εἶθ'] sic AB Patr., εἶτ' ἂν Stob., οἱ δ' reliqui. 3. ἀπλανῶν] ἀφανῶν Verg. 7. γεύσεται Patr., τεύξεται Stob. || οὔτε τοῦ ἀγαθοῦ μεταλαμβάνει om. Stob. 8. παλίσσυτος] sic Stob., παλίσυρτος AB Patr., παλίσσυρτος Turn. Fluss. 9. ἐστιν ἡ] κακῆς Stob. 10. ἐπιγνοῦσα] sic Patr. Stob., γνοῦσα reliqui. 10. 11. μήτε ... μήτε Patr. 11. ἐντινάσσεται] sic Tied., ἐκτινάσσει τοῖς B Patr., ἐντινάσσει τοῖς reliqui. 13. δουλεύσει Stob. 14. κατάρχουσα Stob.

in volatilia, aëreae vero in homines, humanae vero immortalitatis initium habent in daemones migrantes. dein ita in deorum inerrantium chorum transeunt; chori vero duo sunt deorum, alius errantium alius inerrantium; et haec est animae perfectissima gloria. anima in corpus hominis ingressa, si mala perseverat, neque gustat immortalitatem neque boni fit particeps; sed retrogradiens viam revertitur in reptilia. et haec condemnatio est animae malae; nequitia vero animae est ignoratio. anima namque nihil entium cognoscens neque horum naturam neque bonum, caecutiens corporis implicatur passionibus; et infelix ignorans se ipsam servit corporibus alienis et flagitiosis, tamquam sarcinam ferens corpus, non imperans,

ἀρχομένη· αὕτη κακία ψυχῆς. τοὐναντίον δὲ ἀρετὴ ψυ- 9
χῆς γνῶσις. ὁ γὰρ γνοὺς καὶ ἀγαθὸς καὶ εὐσεβὴς καὶ ἤδη θεῖος.

Τάτ. Τίς δέ ἐστιν οὗτος, ὦ πάτερ;

Ἑρμῆς. Ὁ μὴ πολλὰ λαλῶν μηδὲ πολλὰ ἀκούων. ὁ γὰρ δύο λόγοις σχολάζων καὶ ἀκοαῖς, ὦ τέκνον, σκιαμαχεῖ. ὁ γὰρ θεὸς καὶ πατὴρ καὶ τὸ ἀγαθὸν οὔτε λέγεται οὔτε ἀκούεται. τούτου δὲ οὕτως ἔχοντος ἐν πᾶσι τοῖς οὖσιν αἱ αἰσθήσεις εἰσὶ διὰ τὸ μὴ δύνασθαι εἶναι χωρὶς αὐτῶν. γνῶσις δὲ αἰσθήσεως πολὺ διαφέρει. αἴσθησις μὲν γὰρ γίνεται τοῦ ἐπικρατοῦντος, γνῶσις δέ ἐστιν ἐπιστήμης τὸ τέλος, ἐπιστήμη δὲ δῶρον τοῦ θεοῦ.
πᾶσα γὰρ ἐπιστήμη ἀσώματος, ὀργάνῳ χρωμένη αὐτῷ 10
τῷ νοΐ, ὁ δὲ νοῦς τῷ σώματι. ἀμφότερα οὖν χωρεῖ εἰς σώματά τε νοητὰ καὶ ὑλικά. ἐξ ἀντιθέσεως γὰρ καὶ ἐναντιότητος δεῖ τὰ πάντα συνεστάναι. καὶ τοῦτο ἄλλως εἶναι ἀδύνατον.

Τάτ. Τίς οὖν ὁ ὑλικὸς θεὸς ὁδί;

1. *κακία*] *καταδίκη* Stob. || post *ψυχῆς* desinit Stobaeus. 10. *αὐτῶν*] sic Patr., *αὐτοῦ* reliqui. 11. *ἐπικρατουμένου* Tied. 18. et p. 74 v. 1. *Τάτ* et *Ἑρμῆς* om. B, sumpsi ex Ficini versione.

sed parens. haec malitia est animae. e contra virtus animae cognitio est. cognoscens enim bonus et pius iam est divinus.

Tat. Quis vero is est, o pater?

Hermes. Qui non multa loquitur neque multa audit. nam qui duos sermones audit, o fili, in umbram pugnat. nam deus et pater et bonum neque dicitur neque auditur. hoc ita se habente, in omnibus entibus sensus est eo quod sine ipso nequeant esse. cognitio vero a sensu multum differt. sensus namque fit praepollentis, cognitio vero est scientiae finis, scientia vero donum dei. omnis enim scientia incorporea est, organo utens ipsa mente, mens autem corpore. ambo ergo ingrediuntur in corpora intelligibilia et materialia. ex contrapositione enim et contrarietate oportet omnia constare. et hoc aliter esse nequit.

Tat. Quis ergo materialis est hic deus?

Ἑρμῆς. Ὁ καλὸς κόσμος, οὐκ ἔστι δὲ ἀγαθός. ὑλι-
κὸς γὰρ καὶ εὐπάθητος· καὶ πρῶτος μὲν τῶν παθητῶν,
δεύτερος δὲ τῶν ὄντων καὶ αὐτοδεής· καὶ αὐτός ποτε μὲν
γενόμενος, ἀεὶ δὲ ὤν· ὢν δὲ ἐν γενέσει καὶ γινόμενος ἀεί.
γένεσις τῶν ποιῶν καὶ τῶν ποσῶν· κινητὸς γάρ. πᾶσα
11 γὰρ ὑλικὴ κίνησις γένεσίς ἐστιν. ἡ δὲ νοητὴ στάσις κι-
νεῖ τὴν ὑλικὴν κίνησιν τὸν τρόπον τοῦτον, ἐπεὶ ὁ κό-
σμος σφαῖρά ἐστι, τουτέστι κεφαλή· κεφαλῆς δὲ οὐδὲν
ὑπεράνω ὑλικόν, ὥσπερ οὐδὲ ποδῶν οὐδὲν νοητὸν ὑπο-
κάτω, πᾶν δὲ ὑλικόν. νοῦς δὲ κεφαλὴ αὐτή, σφαιρικῶς
κινουμένη, τοῦτό ἐστι κεφαλικῶς· ὅσα οὖν προσήνωται
τῷ ὑμένι τῆς κεφαλῆς ταύτης, ἐν ᾧ ἐστιν ἡ ψυχή, ἀθά-
νατα πέφυκεν, ὥσπερ ἐν ψυχῇ τοῦ σώματος πεποιημένου·
καὶ πλήρη τοῦ σώματος τὴν ψυχὴν ἔχοντα. τὰ δὲ πόρρω
τοῦ ὑμένος, ἐν ᾧ τὰ πλέον ἔχοντα τῆς ψυχῆς τὸ
σῶμα, θνητὰ πέφυκε· πᾶν δὲ ζῷον· ὥστε τὸ πᾶν ἔκ τε

2. τῶν] sic Patr., πάντων AB, om. ceteri. 5. γάρ] ἐστι B. 8. κεφαλῆς] κεφαλῇ AB. 12. ἐν ᾧ om. B Turn. 13. ὥσπερ] ζήτει marg. B. || τοῦ] sic A, δὲ reliqui. 14. πλήρη] πλὴν εἰ A, πλεῖν B. 15. ἐν ᾧ] ἐν ᾗ Verg. || τὰ] sic Tied., τὸ reliqui. || ἔχοντι Patr. 16. θνητὰ πέφυκε] sic Tied., om. reliqui. || ὥστε] ὥσπερ οὖν AB Vergic.

Hermes. Pulcher mundus, non est tamen bonus. materialis enim et facile passibilis; et primus quidem passibilium, secundus vero entium et per se indigus; et aliquando quidem genitus, semper tamen existens; est in generatione et fit semper; generatio est qualium et quantorum, quippe mobilis. omnis enim materialis motus generatio est. intelligibilis autem status movet materialem motum in hunc modum, cum mundus sphaera sit, hoc est caput; supra caput vero nullum materiale est, sicuti neque sub pedibus ullum est intelligibile, universum autem materiale. mens vero caput ipsum est sphaerice motum, id est capitaliter. quaecunque ergo adiuncta sunt membranae capitis huius, in quo anima est, immortalia nata sunt, quasi corpus sit in anima constitutum: animamque habentia plena sunt corpore; quae vero procul a membrana, in qua ea sunt, quae habent plus corporis, quam animae, ea mortalia nata sunt.

ὑλικοῦ καὶ νοητοῦ συνέστηκε. καὶ ὁ μὲν κόσμος πρῶτον, 12
ὁ δὲ ἄνθρωπος δεύτερον ζῶον μετὰ τὸν κόσμον, πρῶτον
δὲ τῶν θνητῶν· τῶν μὲν ἄλλων ζώων τὸ ἔμψυχον ἔχει.
οὐκ ἔτι δὲ μόνον οὐκ ἀγαθός, ἀλλὰ καὶ κακὸς ὡς θνη-
τός. ὁ μὲν γὰρ κόσμος οὐκ ἀγαθὸς ὡς κινητός, οὐ κα-
κὸς δὲ ὡς ἀθάνατος. ὁ δὲ ἄνθρωπος καὶ ὡς κινητὸς καὶ
ὡς θνητὸς κακός. ψυχὴ δὲ ἀνθρώπου ὀχεῖται τὸν τρόπον 13
τοῦτον· ὁ νοῦς ἐν τῷ λόγῳ, ὁ λόγος ἐν τῇ ψυχῇ, ἡ ψυχὴ
ἐν τῷ πνεύματι, τὸ πνεῦμα ἐν τῷ σώματι. τὸ δὲ πνεῦμα
διῆκον διὰ φλεβῶν καὶ ἀρτηριῶν καὶ αἵματος κινεῖ τὸ
ζῶον, καὶ ὥσπερ τρόπον τινὰ βαστάζει. διὸ καί τινες
τὴν ψυχὴν αἷμα ἐνόμισαν εἶναι, σφαλλόμενοι τὴν φύσιν,
οὐκ εἰδότες ὅτι πρῶτον δεῖ τὸ πνεῦμα ἀναχωρῆσαι εἰς τὴν

1. πρῶτον] sic Fluss., πρῶτος reliqui. 2. Stobaeus ecl. phys. I p. 770 Heeren. Ὁ μὲν ἄνθρωπος τὸ δεύτερον ζῶον μετὰ τὸν κόσμον, πρῶτον δὲ τῶν θνητῶν. Post θνητῶν continuo legitur ψυχὴ δὲ ἀνθρώπου ... v. 7. „Caeterum Hermes cum homini alterum locum tribuit, parum memor est eorum quae alio loco dixit; nam pag. 48 ap. Patr. (cap. 8, 5) tertius ei assignatur, post Deum nempe et mundum.“ Heeren. 2. πρῶτον] sic AB Turn. Stob., πρῶτος Patr. Fluss. 7. ψυχὴ δὲ ... Stob. ecl. phys. I p. 770 Heeren. 9. πνεύματι, τὸ πνεῦμα ἐν τῷ om. AB. 10. διῆκον] sic Patr. Stob., διήκει reliqui. 12. νομίζουσιν Stob. 13. τοῦ πνεύματος ἀναχωρήσαντος Stob.

universum vero animal est; itaque universum ex materiali et intelligibili constat. et mundus quidem primum, homo vero secundum animal est post mundum; primum autem mortalium, et aliorum quidem animalium habet, ut sit animatus. non tamen tantum est non bonus, sed etiam est malus ut mortalis. nam mundus quidem non bonus est quia mobilis, non tamen malus quia immortalis. homo vero et qua mobilis et qua mortalis malus est. anima vero hominis hoc modo fertur, mens in ratione, ratio in anima, anima in spiritu, spiritus in corpore. spiritus penetrans per venas et arterias et sanguinem movet animal, et quodammodo fert. quare aliqui animam sanguinem putarunt esse, errantes in natura, nescientes quod oporteat prius spiritum recur-

ψυχήν, καὶ τότε τὸ αἷμα παγῆναι, καὶ τὰς φλέβας καὶ
τὰς ἀρτηρίας κενωθῆναι, καὶ τότε τὸ ζῶον καθελεῖν·
14 καὶ τοῦτό ἐστιν ὁ θάνατος τοῦ σώματος. ἐκ μιᾶς
δὲ ἀρχῆς τὰ πάντα ἤρτηται· ἡ δὲ ἀρχὴ ἐκ τοῦ ἑνὸς
καὶ μόνου. καὶ ἡ μὲν ἀρχὴ κινεῖται, ἵνα πάλιν ἀρχὴ
γένηται, τὸ δὲ ἓν μένον ἕστηκε καὶ οὐ κινεῖται. καὶ
τρία τοίνυν ταῦτα, ὁ θεὸς καὶ πατὴρ καὶ τὸ ἀγα-
θόν, καὶ ὁ κόσμος καὶ ὁ ἄνθρωπος. καὶ τὸν μὲν κόσμον
ὁ θεὸς ἔχει, τὸν δὲ ἄνθρωπον ὁ κόσμος. καὶ γίνεται ὁ
μὲν κόσμος τοῦ θεοῦ υἱός, ὁ δὲ ἄνθρωπος τοῦ κόσμου
15 ὥσπερ ἔκγονος. οὐ γὰρ ἀγνοεῖ τὸν ἄνθρωπον ὁ θεός,
ἀλλὰ καὶ πάνυ γνωρίζει καὶ θέλει γνωρίζεσθαι. τοῦτο
μόνον σωτήριον ἀνθρώπῳ ἐστίν, ἡ γνῶσις τοῦ θεοῦ. αὕτη
εἰς τὸν ὄλυμπόν ἐστιν ἀνάβασις. τούτῳ μόνῳ ἀγαθὴ
ψυχὴ καὶ οὔποτε ἀγαθή, ποτὲ δὲ κακὴ γίνεται, κατ'
ἀνάγκην δὲ γίνεται.

Τάτ. Πῶς τοῦτο λέγεις, ὦ τρισμέγιστε;

1. καὶ τότε om. Stob. 2. καθελεῖν] ἐκλείπειν Stob. 3. post σώματος desinit Stobaeus. 6. μένον] sic Patr., μόνον reliqui. || καὶ ante οὐ om. A. 11. ἔγγονος A et marg. B. 13. ἐστίν om. A. || τούτῳ] οὕτω AB. 14. 15. ἀγαθῇ ψυχῇ AB. 15. οὔποτε] sic Patr., οὐδέποτε reliqui. || ποτὲ δὲ] sic Patr., om. reliqui. || κακὴ] κακὴ δὲ AB.

rere in animam, et tunc sanguinem concrescere, et venas et arterias vacari, et tunc animal interire; et haec est mors corporis. ex uno vero principio pendent omnia, principium vero ex uno et solo. et principium quidem movetur, ut iterum principium fiat, unum autem manens stat et non movetur. tria ergo haec, deus qui pater et bonum, deinde mundus, denique homo. et mundum deus habet, hominem vero mundus. et mundus filius dei est, homo vero mundi quasi progenies. non enim ignorat hominem deus, sed valde cognoscit et vult cognosci. hoc solum salutare est homini, cognitio dei. hic in olympum est ascensus. ex hoc uno anima fit bona et non aliquando bona, aliquando mala, sed per necessitatem fit.

Tat. Quomodo hoc dicis, o Trismegiste?

Ἑρμῆς. *Ψυχὴν παιδὸς θέασαι, ὦ τέκνον, διάλυσιν αὐτῆς μηδέπω ἐπιδεχομένην, τοῦ σώματος αὐτῆς ἔτι ὀλίγου καὶ μηδέπω τὸ πᾶν ὠγκωμένου.*

Τάτ. *Πῶς;*

Ἑρμῆς. *Καλὴν μὲν βλέπειν πανταχοῦ, μηδέποτε δὲ τεθολωμένην ὑπὸ τῶν τοῦ σώματος παθῶν, ἔτι σχεδὸν ἠρτημένην τῆς τοῦ κόσμου ψυχῆς. ὅταν δὲ ὀγκωθῇ τὸ σῶμα καὶ κατασπάσῃ αὐτὴν εἰς τοὺς τοῦ σώματος ὄγκους, διαλύσασα δὲ ἑαυτὴν ἐγγεννᾷ λήθην, καὶ τοῦ καλοῦ καὶ ἀγαθοῦ οὐ μεταλαμβάνει. ἡ δὲ λήθη κακία γίνεται. τὸ δὲ αὐτὸ συμβαίνει καὶ τοῖς τοῦ σώματος ἐξιοῦσιν.* 16
ἀναδραμούσης γὰρ τῆς ψυχῆς εἰς ἑαυτήν, συστέλλεται τὸ πνεῦμα εἰς τὸ αἷμα, ἡ δὲ ψυχὴ εἰς τὸ πνεῦμα· ὁ δὲ νοῦς καθαρὸς γενόμενος τῶν ἐνδυμάτων, θεῖος ὢν φύσει, σώματος πυρίνου λαβόμενος περιπολεῖ πάντα τόπον, καταλιπὼν τὴν ψυχὴν κρίσει καὶ τῇ κατ' ἀξίαν δίκῃ.

1. ante *διάλυσιν* AB Turn. Fluss. add. *αὐτὴν*. 2. 3. *ὀλίγου*] sic B Fluss., *ὀλίγον* reliqui. || post *ὀλίγου* B Patr. add. *ὄγκωτο*. 4. 5. *Τάτ* et *Ἑρμῆς* om. B, habet Tied. 5. *βλέπει* B. || post *πανταχοῦ* Patr. add. *ἑαυτήν*. 6. *τεθολωμένη* B. 7. *ἠρτημένη* B Patr. 8. 9. *εἰς τοὺς* — *ἑαυτὴν* om. Patr. 9. *γεννᾷ* Patr. 12. *ἀναδραμούσης* et *τῆς ψυχῆς*] sic corr. B., *ἀναδραμοῦσα* et *ἡ ψυχὴ* reliqui.

Hermes. Pueri animam considera, o fili, dissolutionem sui nondum recipientem, corpore ipsius exiguo adhuc et non omnino adaucto.

Tat. Quomodo?

Hermes. Pulchram quidem ubique aspectu, neque maculatam a corporis passionibus, adhuc fere pendentem e mundi anima. quando vero in molem excreverit corpus et traxerit eam in corporis molem, se ipsam resolvens ingenerat oblivionem, neque boni neque pulchri amplius est particeps. oblivio autem nequitia est. id ipsum accidit iis qui egrediuntur e corpore. recurrente enim in se ipsam anima contrahitur spiritus in sanguinem, anima vero in spiritum; mens autem purgata ab indumentis, divina cum sit natura, corpus igneum sumens circuit omnem locum, relinquens animam iudicio et merito supplicio.

Τάτ. Πῶς τοῦτο λέγεις, ὦ πάτερ; ὁ νοῦς τῆς ψυχῆς
χωρίζεται καὶ ἡ ψυχὴ τοῦ πνεύματος, σοῦ εἰπόντος ἔν-
δυμα εἶναι τοῦ μὲν νοῦ τὴν ψυχήν, τῆς δὲ ψυχῆς τὸ
πνεῦμα;

17 *Ἑρμῆς.* Συννοεῖν δεῖ, ὦ τέκνον, τὸν ἀκούοντα τῷ
λέγοντι καὶ συμπνέειν καὶ ὀξυτέραν ἔχειν τὴν ἀκοὴν τῆς
τοῦ λέγοντος φωνῆς. ἡ σύνθεσις τῶν ἐνδυμάτων τούτων,
ὦ τέκνον, ἐν σώματι γηίνῳ γίνεται. ἀδύνατον γὰρ τὸν
νοῦν ἐν γηίνῳ σώματι γυμνὸν αὐτὸν καθ' ἑαυτὸν ἑδρά-
σαι. οὔτε γὰρ τὶ γήινον σῶμα δυνατόν ἐστι τηλικαύτην
ἀθανασίαν ἐνεγκεῖν, οὔτε τὴν τοσαύτην ἀρετὴν ἀνέχεσθαι,
συγχρωτιζόμενον αὐτῷ παθητὸν σῶμα. ἔλαβεν οὖν ὥσπερ
περιβολὴν τὴν ψυχήν· ἡ δὲ ψυχὴ καὶ αὐτὴ θεία τις
οὖσα καθάπερ περιβολῇ τῷ πνεύματι χρῆται. τὸ δὲ
18 πνεῦμα τὸ ζῶον διήκει. ὅταν οὖν ὁ νοῦς ἀπαλλαγῇ τοῦ

1. Πῶς τοῦτο ... Stob. ecl. phys. I p. 774 Heeren. 7. διάθεσις Patr. || τούτων, ὦ τέκνον om. Stob. 9. γυμνὸν om. Stob. 11. τοσαύτην] sic B Patr. Stob., τοιαύτην reliqui. || ἀνασχέσθαι Patr. Stob. 12. συγχρωτιζόμενον] sic Stob., συγχρωματιζόμενον AB Turn. Fluss. || αὐτῇ Patr. Stob. || οὖν om. Patr. 13. περιβόλαιον Patr. Stob. || τῆς ψυχῆς Patr. 14. καθαπερεὶ A Turn. Fluss. || περιβολῇ] sic B, ὑπερέτῃ Patr., πυρὶ reliqui. 15. διοικεῖ libri.

Tat. Quomodo id ais, o pater? mens ab anima separatur et anima a spiritu? nam tu dixisti indumentum esse mentis quidem animam, animae vero spiritum.

Hermes. Cointelligere oportet, o fili, audientem cum dicente et conspirare et acutiorem habere auditum dicentis voce. compositio indumentorum horum, o fili, in corpore terreno fit. impossibile enim est mentem in terreno corpore nudam ipsam per se ipsam stabiliri. neque enim terrenum corpus tantam immortalitatem ferre neque talem virtutem sustinere potest, conflatum cum passibili corpore. sumpsit igitur veluti septum animam. anima vero et ipsa divina tamquam septo utitur spiritu. spiritus autem percurrit animal. quando ergo mens terrenum corpus reliquerit, propriam illico induit

γηίνου σώματος, τὸν ἴδιον εὐθὺς ἐνδύεται χιτῶνα τὸν πύρινον, ὃν οὐκ ἐδύνατο ἔχων εἰς τὸ γήινον σῶμα κατοικῆσαι. γῆ γὰρ πῦρ οὐ βαστάζει· πᾶσα γὰρ φλέγεται καὶ ὑπὸ ὀλίγου σπινθῆρος. καὶ διὰ τοῦτο τὸ ὕδωρ περικέχυται τῇ γῇ, ὥσπερ ἕρυμα καὶ τεῖχος ἀντέχον πρὸς τὴν τοῦ πυρὸς φλόγα· νοῦς δὲ ὀξύτατος ὢν πάντων θείων νοημάτων καὶ ὀξύτερος πάντων τῶν στοιχείων ἔχει σῶμα τὸ πῦρ. δημιουργὸς γὰρ ὢν ὁ νοῦς τῶν πάντων ὀργάνῳ τῷ πυρὶ πρὸς τὴν δημιουργίαν χρῆται. καὶ ὁ μὲν τοῦ παντὸς τῶν πάντων, ὁ δὲ τοῦ ἀνθρώπου τῶν ἐπιγείων μόνον. γυμνὸς γὰρ ὢν τοῦ πυρὸς ὁ ἐπὶ γῆς νοῦς ἀδυνατεῖ τὰ θεῖα δημιουργεῖν, ἀνθρώπινος ὢν τῇ διοικήσει.
ψυχὴ δὲ ἀνθρωπίνη, οὐ πᾶσα μὲν ἡ δὲ εὐσεβής, δαιμο- 19
νία τίς ἐστι καὶ θεία. καὶ ἡ τοιαύτη ψυχὴ μετὰ τὸ ἀπαλλαγῆναι τοῦ σώματος τὸν τῆς εὐσεβείας ἀγῶνα ἠγωνισμένη (ἀγὼν δὲ εὐσεβείας τὸ γνῶναι τὸν θεὸν καὶ μη-

1. *ἐνδύεται*] sic Verg., *ἐνεδύσατο* ceteri. 3. ante *φλέγεται* Patr. Stob. add. *γῆ*. 6. *νοῦς*] *ὃς* A. 8. *ὢν*] sic B Patr. Stob., om. reliqui. || *ὁ νοῦς*] sic Patr. Stob., om. reliqui. || *ὀργάνῳ*] sic Patr. Stob., *οὐρανῶν* reliqui. 10. *ἐπιγείων*] *ἐπὶ γῆς* Stob. 11. *μόνον*] sic Patr. Stob., *πάντων* reliqui. || *ἐπὶ γῆς*] sic Patr., *ἐν ἀνθρώποις* Stob., *ἐν ἀνθρώπῳ* reliqui. 13. *ψυχὴ δὲ* ... Stob. ecl. phys. I p. 1002 Heeren. 16. post *ἠγωνισμένη* (*ἀγωνισαμένη* Stob.) Patr. add. *ἢ νοῦς ἢ θεὸς γίνεται*, AB Turn. Fluss. add. *θεὸς γίνεται*.

tunicam igneam, quam habere non poterat, cum terrenum corpus incoleret. terra enim ignem non fert. omnis enim comburitur et a parva scintilla. et ob id aqua terrae est circumfusa velut propugnaculum et murus oppositus ignis flammae; mens autem velocissima omnium divinarum cogitationum et velocior omnibus elementis corpus habet ignem. nam mens cum opifex sit omnium, instrumento ad opificium igne utitur. opifex quidem totius utitur omnibus, hominis autem faber terrenis tantum. nuda enim igne cum sit mens terrena, impotens est divina condere, humana quia est dispositione. anima vero humana, non quidem omnis sed pia, daemonica quaedam est et divina. talis anima post discessum a corpore, pietatis agonem

δένα ἀνθρώπων ἀδικῆσαι) ὅλη νοῦς γίνεται· ἡ δὲ ἀσεβὴς ψυχὴ μένει ἐπὶ τῆς ἰδίας οὐσίας ὑφ' ἑαυτῆς κολαζομένη καὶ γήινον σῶμα ζητοῦσα, εἰς ὃ εἰσέλθῃ ἀνθρώπειον. ἄλλο γὰρ σῶμα οὐ χωρεῖ ἀνθρωπίνην ψυχήν· οὐδὲ θέμις ἐστὶν εἰς ἀλόγου ζώου σῶμα ψυχὴν ἀνθρωπίνην καταπεσεῖν. θεοῦ γὰρ νόμος οὗτος, φυλάσσειν ψυχὴν ἀνθρωπίνην ἀπὸ τῆς τοσαύτης ὕβρεως.

20 *Τάτ. Πῶς οὖν κολάζεται, ὦ πάτερ, ἀνθρωπίνη ψυχή;*

Ἑρμῆς. Καὶ τίς ἐστι μείζων κόλασις ἀνθρωπίνης ψυχῆς, ὦ τέκνον, ἢ ἡ ἀσέβεια; ποῖον δὲ πῦρ τοσαύτην φλόγα ἔχει, ὅσην ἡ ἀσέβεια; ποῖον δὲ δάκετον θηρίον οὕτως λυμαίνει τὸ σῶμα, ὅσον αὐτὴν τὴν ψυχὴν ἡ ἀσέβεια; ἢ οὐχ ὁρᾷς, ὅσα κακὰ πάσχει ψυχὴ ἡ ἀσεβής; βοῶσα καὶ κεκραγυῖα· καίομαι, φλέγομαι, τί εἴπω τί ποι-

1. *ὅλη*] sic Stob., *ἢ δὴ* vel *ἣ δὲ* reliqui. 3. *εἰς ὃ εἰσέλθῃ*] *εἰσελθεῖν* Stob. || *ἀνθρώπινον* A, *ἀνθρώπινον δέ* Stob. 4. *ἄλλο γὰρ σῶμα*] „Caeterum ipse sibi hic adversatur Hermes, nam cum modo supra (cap. 10, 7) posuisset, animas malorum iterum bestiis includi, hic iam contrarium affert, cum eas in humana iterum corpora immigrare docet“ Heeren. 5. *εἰς* om. Patr. 7. *τοιαύτης* Stob. || *ὕβρεως.* desinit Stobaeus. 10. *ἡ* ante *ἀσέβεια* om. A. 12. *οὕτως*] sic Patr., *ὥστε* reliqui. || *λυμαίνει*] *λυμάναι* B, *λυμῆται* Patr., *λυμᾶναι* reliqui. 14. *βοῶσα*] sic Patr., *βοώσης αὐτῆς* reliqui. || *κεκραγυῖα*] sic Patr., *κεκραγυίας* reliqui.

postquam certavit, (agon vero pietatis est cognoscere deum neque quemquam hominum iniuria afficere) tota mens fit; impia vero anima manet in propria essentia se ipsam crucians et terrenum corpus quaerens, in quod ingrediatur humanum. aliud enim corpus non capit humanam animam; neque fas est in bruti animalis corpus animam humanam cadere. dei enim lex haec est, servare animam humanam a tanta contumelia.

Tat. Quomodo ergo punitur humana anima, o pater?

Hermes. Et quaenam est maior poena humanae animae, quam impietas, o fili? qualis ignis tantam habet flammam, quantam impietas? et qualisnam mordens fera ita laedit corpus, quantum ipsam animam impietas? vel non cernis, quanta mala patitur anima impia? vociferans et clamans: uror, comburor, quid dicam quid faciam ne-

ήσω οὐκ οἶδα, διεσθίομαι ἡ κακοδαίμων ὑπὸ τῶν κατεχόντων με κακῶν, οὔτε βλέπω ἡ τλήμων οὔτε ἀκούω. αὗται αἱ φωναὶ κολαζομένης εἰσὶ ψυχῆς, οὐχ ὡς οἱ πολλοὶ δοκοῦσι καὶ σὺ δοξάζεις, ὦ τέκνον, ὅτι ψυχὴ ἐξελθοῦσα τοῦ σώματος θηριάζεται, ὅπερ ἐστὶ πλάνη μεγίστη. ψυχὴ γὰρ κολάζεται τοῦτον τὸν τρόπον. ὁ γὰρ 21
νοῦς ὅταν δαίμων γένηται, πυρίνου τυχεῖν σώματος τέτακται πρὸς τὰς τοῦ θεοῦ ὑπηρεσίας, καὶ εἰσδὺς εἰς τὴν ἀσεβεστάτην ψυχὴν αἰκίζεται αὐτὴν ταῖς τῶν ἁμαρτημάτων μάστιξιν· ὑφ' ὧν μαστιζομένη ἡ ἀσεβὴς ψυχὴ τρέπεται ἐπὶ φόνους καὶ ὕβρεις καὶ βλασφημίας καὶ βίας ποικίλας καὶ ἄλλα, δι' ὧν ἄνθρωποι ἀδικοῦνται· εἰς δὲ τὴν εὐσεβῆ ψυχὴν ὁ νοῦς ἐμβὰς ὁδηγεῖ αὐτὴν ἐπὶ τὸ τῆς γνώσεως φῶς. ἡ δὲ τοιαύτη ψυχὴ κόρον οὐδέποτε ἴσχει ὑμνοῦσα εὐφημοῦσά τε πάντας ἀνθρώπους, καὶ λόγοις καὶ ἔργοις πάντα εὖ ποιοῦσα, μιμουμένη αὐτῆς τὸν πατέρα. διό, ὦ τέκνον, εὐχαριστοῦντα τῷ θεῷ δεῖ 22

2. *με* om. B. || *ἡ τλήμων*] sic Patr., om. ceteri. 3. post *φωναὶ* AB Turn. Fluss. add. *οὐ.* || *οὐχ*] sic Patr., *ἢ* ceteri. 6. *γὰρ* post *ὁ* om. B. 8. *εἰσδύνασα* A, *εἰσδύνας* B, *εἰσδύνων* Patr. 9. 10. *ἁμαρτημάτων*] sic Patr., *ἁμαρτανόντων* ceteri. 12. *καὶ ἄλλα*] sic Patr., om. ceteri. 15. *ἴσχει ὑμνοῦσα*] *ἔχει ὑπνοῦσα* AB Turn. 16. *πάντως* Patr. || *εὖ ποιοῦσα*] *ἐμποιοῦσα* AB Turn. 17. *εὐχαριστοῦντας* Patr.

scio, edor infelix a malis circumdata, neque video misera neque audio. hae sunt voces cruciatae animae, non ut tu et vulgus opinamini, o fili, quod anima exiens e corpore in feram transeat, qui est error maximus. anima enim cruciatur hoc modo. nam mens cum facta est daemon, igneum corpus nancisci debet ad dei ministeria, et subiens in impiissimam animam ipsam peccatorum flagellis verberat; a quibus flagellata impia anima sese vertit ad homicidia et iniurias et blasphemias et violentias varias et alia, per quae homines iniuria afficiuntur; in piam vero animam mens ingressa ducit eam ad cognitionis lumen. talis vero anima nunquam satiatur laudare et benedicere omnes homines, et sermonibus et factis omnia bene faciens, patrem suum imitata. ideo, o fili, gratias agentem deo

*εὔχεσθαι καλοῦ τοῦ νοῦ τυχεῖν· εἰς μὲν οὖν τὸ κρεῖττον
ψυχὴ μεταβαίνει, εἰς δὲ τὸ ἔλαττον ἀδύνατον. κοινωνία
δέ ἐστι ψυχῶν, καὶ κοινωνοῦσι μὲν αἱ τῶν θεῶν ταῖς
τῶν ἀνθρώπων, αἱ δὲ τῶν ἀνθρώπων ταῖς τῶν ἀλόγων.
ἐπιμελοῦνται δὲ οἱ κρείττονες τῶν ἐλαττόνων, θεοὶ μὲν
ἀνθρώπων, ἄνθρωποι δὲ τῶν ἀλόγων ζώων, ὁ δὲ θεὸς
πάντων. πάντων γὰρ οὗτος κρείττων καὶ πάντα αὐτοῦ
ἐλάττονα. ὁ μὲν οὖν κόσμος ὑπόκειται τῷ θεῷ, ὁ δὲ
ἄνθρωπος τῷ κόσμῳ, τὰ δὲ ἄλογα τῷ ἀνθρώπῳ, ὁ δὲ
θεὸς ὑπὲρ πάντα καὶ περὶ πάντα· καὶ τοῦ μὲν θεοῦ κα-
θάπερ ἀκτῖνες αἱ ἐνέργειαι, τοῦ δὲ κόσμου ἀκτῖνες αἱ
φύσεις, τοῦ δὲ ἀνθρώπου ἀκτῖνες αἱ τέχναι καὶ ἐπιστῆ-
μαι. καὶ αἱ μὲν ἐνέργειαι διὰ τοῦ κόσμου ἐνεργοῦσι καὶ
ἐπὶ τὸν ἄνθρωπον διὰ τῶν τοῦ κόσμου φυσικῶν ἀκτίνων,
αἱ δὲ φύσεις διὰ τῶν στοιχείων, οἱ δὲ ἄνθρωποι διὰ τῶν
23 τεχνῶν καὶ ἐπιστημῶν. καὶ αὕτη ἡ τοῦ παντός ἐστι
διοίκησις, ἠρτημένη ἐκ τῆς τοῦ ἑνὸς φύσεως καὶ διήκουσα
δι' ἑνὸς τοῦ νοῦ. οὗ οὐδέν ἐστι θειότερον καὶ ἐνεργέστε-*

2.3 *κοινωνία δε* ... Stob. ecl. phys. I p. 764 Heeren. 4—6. *αἱ δὲ — ζώων*] sic Patr. Stob., om. ceteri. 7. 8. *πάντων — ἐλάττονα* om. Stob. 10. 11. *καθάπερ* om. Patr. 11. *ἀκτῖνες*] sic Patr., om. ceteri. 18. *οὗ*] *ἧς* B, om. A Turn.

oportet precari, ut bonam sortiaris mentem; in praestantius quidem anima transit, in deterius vero non potest. communicatio vero est animarum, et communicant animae deorum cum humanis, humanae vero animabus brutorum. curam vero gerunt praestantiores minorum, dii quidem hominum, homines brutorum animalium, deus vero omnium. nam ipse omnibus est maior, omnia vero ipso sunt minora. mundus quidem subiacet ipsi deo, homo vero mundo, bruta autem homini, deus vero supra omnia et circa omnia, et dei quidem velut radii sunt energiae, mundi vero radii sunt naturae, hominis vero radii artes et scientiae. et energiae quidem per mundum agunt et in homine per mundi physicos radios, naturae vero per elementa, homines autem per artes et scientias. et hoc est universi regimen, pendens ex unius natura et penetrans per unam mentem. qua nihil

ρον καὶ ἑνωτικώτερον ἀνθρώπων μὲν πρὸς τοὺς θεούς,
θεῶν δὲ πρὸς τοὺς ἀνθρώπους· οὗτός ἐστιν ὁ ἀγαθὸς
δαίμων. μακαρία ψυχὴ ἡ τούτου πληρεστάτη, κακοδαίμων
δὲ ψυχὴ ἡ τούτου κενή.

Τάτ. Πῶς τοῦτο πάλιν λέγεις, ὦ πάτερ;

Ἑρμῆς. Οἴει οὖν, ὦ τέκνον, ὅτι πᾶσα ψυχὴ νοῦν
ἔχει τὸν ἀγαθόν; περὶ γὰρ τούτου ἐστὶν ἡμῖν ὁ λόγος,
οὐ περὶ τοῦ ὑπηρετικοῦ, περὶ οὗ ἔμπροσθεν εἰρήκαμεν
τοῦ καταπεμπομένου ὑπὸ τῆς δίκης. ψυχὴ γὰρ χωρὶς 24
τοῦ νοῦ οὔτε τι εἰπεῖν οὔτε τι ἔρξαι δύναται. πολλάκις
γὰρ ἐξέστη ὁ νοῦς τῆς ψυχῆς, καὶ ἐν ἐκείνῃ τῇ ὥρᾳ οὔτε
βλέπει ψυχὴ οὔτε ἀκούει, ἀλλ' ἀλόγῳ ζώῳ ἔοικε. τηλι-
καύτη δύναμίς ἐστι τοῦ νοῦ· ἀλλ' οὐδὲ νωτρᾶς ψυχῆς
ἀνέχεται, ἀλλὰ καταλείπει τὴν τοιαύτην ψυχὴν τῷ σώ-
ματι προσηρτημένην καὶ ὑπ' αὐτοῦ ἀγχομένην κάτω. ἡ
τοιαύτη δὲ ψυχή, ὦ τέκνον, νοῦν οὐκ ἔχει. ὅθεν οὐδ'
ἄνθρωπον δεῖ λέγειν τὸν τοιοῦτον. ὁ γὰρ ἄνθρωπος

2. δὲ om. A. 3. ante *μακαρία* Stob. add. οὗ ἂν, et post *ψυχὴ* add. ᾗ ἡ. 4. *κενωτάτη* Stob. 5. *λέγεις πάλιν* AB. 6. *Οἴει*] *Οἶσθα* Patr. 7. *τὸν*] *τὸ* A. 8. *περὶ* ante *οὗ*] sic Patr., om. ceteri. 10. *ἔρξαι*] sic Stob., *εἶρξαι* ceteri. 11. *ἐξέστη*] *ἐξήπτατο* Patr., *ἐξίπταται* Stob. 13. 14. *ἀλλ'* — *ἀνέχεται* om. AB Turn. Fluss. 14. *τοιαύτην ψυχὴν* om. Stob. 15. *προσκειμένην* Stob. 17. *λέγειν*] sic Patr., *ἡγεῖσθαι* Stob., *λέγεσθαι* ceteri.

est divinius et efficacius, nihil uniendi potentius homines quidem ad deos, deos autem ad homines; hic est bonus daemon. felix anima quae eo plena, infelix vero quae eo est vacua.

Tat. Quomodo hoc rursus dicis, o pater?

Hermes. Suspicaris itaque, o fili, omnem animam mentem habere bonam? de hac enim est nobis sermo, non de ministro, quem supra diximus ex iudicio deorsum demissum. anima namque sine mente nec dicere quidquam, nec agere potest. saepe enim evolat mens ex anima, et in illa hora neque cernit anima neque audit, sed bruto animali est similis. tanta est potentia mentis. non autem inertem animam sustinet, sed relinquit talem animam corpori annexam et ab eo tractam deorsum. talis anima, o fili, mentem non habet. quare talem neque hominem licet dicere. homo enim divi-

ζῶόν ἐστι θεῖον καὶ τοῖς ἄλλοις ζώοις οὐ συγκρίνεται τῶν ἐπιγείων, ἀλλὰ τοῖς ἄνω ἐν οὐρανῷ λεγομένοις θεοῖς. μᾶλλον δ' εἰ χρὴ τολμήσαντα εἰπεῖν τὸ ἀληθές, καὶ ὑπὲρ ἐκείνους ἐστὶν ὁ ὄντως ἄνθρωπος, ἢ πάντως γε ἰσοδυναμοῦσιν ἀλλήλοις. οὐδεὶς μὲν γὰρ τῶν οὐρανίων θεῶν ἐπὶ γῆς κατελεύσεται, οὐρανοῦ τὸν ὅρον καταλιπών, ὁ δὲ ἄνθρωπος εἰς τὸν οὐρανὸν ἀναβαίνει καὶ μετρεῖ αὐτόν, καὶ οἶδε ποῖα μέν ἐστιν αὐτοῦ ὑψηλὰ ποῖα δὲ ταπεινά, καὶ τὰ ἄλλα πάντα ἀκριβῶς μανθάνει· καὶ τὸ πάντων μεῖζον, οὐδὲ τὴν γῆν καταλιπὼν ἄνω γίνεται. τοσοῦτον μέγεθός ἐστιν αὐτῷ τῆς ἐκτάσεως. διὸ τολμητέον ἐστὶν εἰπεῖν, τὸν μὲν ἄνθρωπον ἐπίγειον εἶναι θεὸν θνητόν, τὸν δὲ οὐράνιον θεὸν ἀθάνατον ἄνθρωπον. διόπερ διὰ τούτων τὰ πάντα διοικεῖται τῶν δύο, κόσμου καὶ ἀνθρώπου, ὑπὸ δὲ τοῦ ἑνὸς τὰ πάντα.

1. ἄλλοις] ἀλόγοις Patr. || συγκρινόμενον Stob. 2. post ἐπιγείων Patr. Stob. add. τισίν. 3. τολμήσαντας Patr. 5. οὐδεὶς] sic Patr. Stob., ὅστις ceteri. 6. καταλιπών] sic A Vergic., καταλείπων Patr., καταλείπει et κατέλιπεν ceteri. 8. 9. καὶ οἶδε — μανθάνει om. Stob. 8. αὐτῷ Turn. Fluss. 11. αὐτοῦ A Patr. Stob. || ἐκτάσεως] ἐκστάσεως Stob., φύσεως Patr. || διόπερ Stob. || ἐστὶν om. Patr. Stob. 13. post οὐράνιον libri repetunt εἶναι, om. Stob. 14. διοικεῖται om. Stob. errore typ. 15. τὰ πάντα] desinit Stobaeus.

num animal est, neque brutis animalibus terrenis comparatur, sed iis qui sursum in caelo dicuntur dii. vel potius si debet audentius dici verum, etiam superior illis est, qui vere est homo, vel omnino aequipollent sibi invicem. nemo enim caelestium in terram descendet, terminos caeli relinquens, homo vero etiam in caelum ascendit et illud metitur, et novit quaenam eius sint sublimia et quae infera, et omnia alia exacte discit; quodque maius est, neque terram relinquens sursum fit. tam ampla est humanae naturae potestas. ideo audendum dicere, hominem quidem terrenum esse deum mortalem, caelestem autem deum immortalem hominem. quare per haec duo singula reguntur, per mundum et hominem, ab uno vero omnia.

Νοῦς πρὸς Ἑρμῆν. 11

Νοῦς. Κατάσχες οὖν τοῦ λόγου, ὦ τρισμέγιστε Ἑρμῆ, 1
καὶ μέμνησο τῶν λεγομένων· ὡς δέ μοι ἐπῆλθεν εἰπεῖν, οὐκ ὀκνήσω.

Ἑρμῆς. Πολλὰ πολλῶν καὶ ταῦτα διάφορα περὶ τοῦ παντὸς καὶ τοῦ θεοῦ εἰπόντων, ἐγὼ τὸ ἀληθὲς οὐκ ἔμαθον· σύ μοι περὶ τούτου, δέσποτα, διασάφησον· σοὶ γὰρ ἂν μόνῳ πιστεύσαιμι τὴν περὶ τούτων φανέρωσιν.

Νοῦς. Ἄκουε, ὦ τέκνον, ὡς ἔχει ὁ θεὸς καὶ τὸ 2
πᾶν. θεὸς ὁ αἰὼν ὁ κόσμος ὁ χρόνος ἡ γένεσις. ὁ θεὸς αἰῶνα ποιεῖ, ὁ αἰὼν δὲ τὸν κόσμον, ὁ κόσμος δὲ τὸν χρόνον, ὁ χρόνος δὲ τὴν γένεσιν. τοῦ δὲ θεοῦ ὥσπερ οὐσία ἐστὶ τὸ ἀγαθόν, τὸ καλόν, ἡ εὐδαιμονία, ἡ σοφία, τοῦ

1. ante Νοῦς πρὸς Ἑρμῆν Patr. add. Ἑρμοῦ τοῦ τρισμεγίστου. || Νοῦς] sic B Patr., νοῦ reliqui. || Ἑρμῆ Patr. 3. λεχθέντων Patr. || ὡς] ὃ Patr. 5. lemma Ἑρμῆς B supra ante ὡς δέ ponit, corr. Tied. || ante Πολλὰ libri add. ἐπεὶ, om. Patr. 8. ante μόνῳ libri add. καὶ, om. B. || τούτων] sic Patr., τούτου reliqui. 9. ante Ἄκουε A Turn. Fluss. add. ὁ χρόνος. 10. ὁ ante θεὸς om. Patr. 11. τὸν ante χρόνον om. AB. 12. χρόνος] κόσμος A. || τὴν om. AB.

Mens ad Hermetem.

Mens. Contine sermonem, o termaxime Hermes, et recordare dictorum; quod vero mihi succurrit dicere, non tardabo.

Hermes. Cum multi multa eaque differentia de universo et de deo dixerint, ego verum non didici; tu mihi, o domine, haec declara; tibi enim soli credam horum declarationem.

Mens. Audi, o fili, quomodo se habeat deus et universum. deus aevum mundus tempus generatio. deus aevum facit, aevum vero mundum, mundus autem tempus. tempus vero generationem. dei quasi essentia est bonum, pulchrum, beatitudo, sapien-

δὲ αἰῶνος ἡ ταυτότης, τοῦ δὲ κόσμου ἡ τάξις, τοῦ δὲ χρόνου ἡ μεταβολή, τῆς δὲ γενέσεως ἡ ζωὴ καὶ ὁ θάνατος. ἐνέργειαι δὲ τοῦ θεοῦ νοῦς καὶ ψυχή, τοῦ δὲ αἰῶνος διαμονὴ καὶ ἀθανασία, τοῦ δὲ κόσμου ἀποκατάστασις καὶ ἀνταποκατάστασις, τοῦ δὲ χρόνου αὔξησις καὶ μείωσις, τῆς δὲ γενέσεως ποιότης. ὁ οὖν αἰὼν ἐν τῷ θεῷ, ὁ δὲ κόσμος ἐν τῷ αἰῶνι, ὁ δὲ χρόνος ἐν τῷ κόσμῳ, ἡ δὲ γένεσις ἐν τῷ χρόνῳ. καὶ ὁ μὲν αἰὼν ἕστηκε περὶ τὸν θεόν, ὁ δὲ κόσμος κινεῖται ἐν τῷ αἰῶνι, ὁ δὲ χρόνος περαιοῦται ἐν τῷ κόσμῳ, ἡ δὲ γένεσις γίνεται ἐν τῷ
3 χρόνῳ. πηγὴ μὲν οὖν πάντων ὁ θεός, οὐσία δὲ ὁ αἰών, ὕλη δὲ ὁ κόσμος· δύναμις δὲ τοῦ θεοῦ ὁ αἰών, ἔργον δὲ τοῦ αἰῶνος ὁ κόσμος, γενόμενος οὔποτε καὶ ἀεὶ γινόμενος ὑπὸ τοῦ αἰῶνος· διὸ οὐδὲ φθαρήσεταί ποτε, αἰὼν γὰρ ἄφθαρτος, οὐδὲ ἀπολεῖταί τι τῶν ἐν τῷ κόσμῳ, τοῦ κόσμου ὑπὸ τοῦ αἰῶνος ἐμπεριεχομένου.

Ἑρμῆς. Ἡ δὲ τοῦ θεοῦ σοφία τίς ἐστι;

Νοῦς. Τὸ ἀγαθὸν καὶ τὸ καλὸν καὶ ἡ εὐδαιμονία

3. ἐνέργεια AB Patr. 13. 14. γενόμενος AB. 17. 18. lemmata Ἑρμῆς et Νοῦς secundum Ficini versionem addidi.

tia, aeonis identitas, mundi autem ordo, temporis vero mutatio, generationis autem vita et mors. actus dei mens et anima, aeonis permanentia et immortalitas, mundi restitutio et destructio, temporis accretio et decretio, generationis qualitas. aevum ergo in deo, mundus in aevo, tempus in mundo, generatio in tempore. aevum quidem stat circa deum, mundus autem movetur in aevo, tempus terminatur in mundo, generatio fit in tempore. fons quidem omnium deus, essentia vero aevum, materia autem mundus; potentia dei aevum, opus aevi mundus, non aliquando sed semper generatus ab aevo; ideo neque corrumpetur unquam, aevum est enim incorruptibile, neque perdetur quidquam eorum, quae in mundo sunt, cum mundus ab aevo contineatur.

Hermes. Dei vero sapientia quaenam est?

Mens. Bonum et pulchrum et beatitudo et omnis virtus et ae-

καὶ ἡ πᾶσα ἀρετὴ καὶ ὁ αἰών. κοσμεῖ οὖν τὴν ἀθανα-
σίαν καὶ διαμονὴν ἐνθεὶς ὁ αἰὼν τῇ ὕλῃ. ἡ γὰρ ἐκείνης 4
γένεσις ἤρτηται ἐκ τοῦ αἰῶνος, καθάπερ καὶ ὁ αἰὼν ἐκ
τοῦ θεοῦ. ἡ γὰρ γένεσις καὶ ὁ χρόνος ἐν οὐρανῷ καὶ
ἐν γῇ εἰσιν ὄντες διφυεῖς. ἐν μὲν οὐρανῷ ἀμετάβλητοι
καὶ ἄφθαρτοι, ἐν δὲ γῇ μεταβλητοὶ καὶ φθαρτοί. καὶ
τοῦ μὲν αἰῶνος ἡ ψυχὴ ὁ θεός, τοῦ δὲ κόσμου ἡ ψυχὴ
ὁ αἰών, τῆς δὲ γῆς ὁ οὐρανός. καὶ ὁ μὲν θεὸς ἐν τῷ
νῷ, ὁ δὲ νοῦς ἐν τῇ ψυχῇ, ἡ δὲ ψυχὴ ἐν τῇ ὕλῃ, πάντα
δὲ ταῦτα διὰ τοῦ αἰῶνος. τὸ δὲ πᾶν τοῦτο σῶμα, ἐν ᾧ
τὰ πάντα ἐστὶ σώματα, ψυχῆς πλῆρές ἐστιν, ἡ δὲ ψυχὴ
πλήρης τοῦ νοῦ καὶ τοῦ θεοῦ· ἐντὸς μὲν αὐτὸ πληροῖ,
ἐκτὸς δὲ περιλαμβάνει, ζωοποιοῦσα τὸ πᾶν· ἐκτὸς μὲν
τοῦτο τὸ μέγα καὶ τέλειον ζῷον, τὸν κόσμον, ἐντὸς δὲ
πάντα τὰ ζῷα· καὶ ἄνω μὲν ἐν τῷ οὐρανῷ διαμένουσα
τῇ ταυτότητι, κάτω δὲ ἐπὶ τῆς γῆς τὴν γένεσιν μεταβάλ-
λουσα. συνέχει δὲ τοῦτον ὁ αἰών, εἴτε δι' ἀνάγκην εἴτε 5
διὰ πρόνοιαν εἴτε διὰ φύσιν, καὶ εἴ τι ἄλλο οἴεται ἢ οἰή-

1. κοσμεῖ οὖν om. Patr. 7. ἡ ψυχὴ post κόσμου] sic Patr., om. reliqui. 11. ψυχῆς πλῆρές ἐστιν, ἡ δὲ] sic Patr., om. reliqui. 12. αὐτὸ] αὐτὴ B. 14. τὸ μέγα om. Patr.

vum. unde immortalitatem praestat aevum, perseverantiam materiae tradens. illius enim generatio pendet ex aeone, sicuti etiam aeon a deo. generatio enim et tempus in caelo et in terra sunt duplicis naturae, in caelo immutabiles et incorruptibiles, in terra mutabiles et corruptibiles. aeonis quidem anima est deus, mundi vero anima aeon, terrae anima caelum. et deus in mente, mens in anima, anima in materia, omnia per aeonem. universum autem hoc corpus, in quo cuncta sunt corpora, plenum est animae, anima autem plena est mentis et dei; intra ipsum replet, extra vero circumplectitur, vivificans universum; extra quidem magnum hoc et perfectum animal, ipsum mundum, intra vero animalia cuncta; sursum quidem in caelo permanens identitate, deorsum vero in terra generationem mutans. continet vero hunc mundum aeon, sive per necessitatem sive per providentiam sive per naturam, et si quid aliud putat seu pu-

σεταί τις· τοῦτό ἐστι πᾶν ὁ θεὸς ἐνεργῶν· ἡ δὲ ἐνέργεια θεοῦ δύναμις οὖσα ἀνυπέρβλητος, ᾗ οὔτε τὰ ἀνθρώπεια οὔτε τὰ θεῖα παραβάλλοι ἄν τις. διό, Ἑρμῆ, μηδέποτε τῶν κάτω μήτε τῶν ἄνω ὅμοιόν τι ἡγήσῃ τῷ θεῷ, ἐπεὶ τῆς ἀληθείας ἐκπεσῇ. οὐδὲν γὰρ ὅμοιον τῷ ἀνομοίῳ καὶ μόνῳ καὶ ἑνί· καὶ μηδὲ ἄλλῳ τινὶ ἡγήσῃ τῆς δυνάμεως ἐγχωρεῖν· τίς γὰρ μετ' ἐκεῖνον εἴτε ζωὴ καὶ ἀθανασία καὶ μεταβολὴ ποιότητος; τί δὲ αὐτὸς ἄλλο ποιήσειεν; οὐ γὰρ ἀργὸς ὁ θεός, ἐπεὶ πάντα ἂν ἦν ἀργά· ἅπαντα γὰρ πλήρη τοῦ θεοῦ· ἀλλ' οὐδὲ ἐν τῷ κόσμῳ ἐστὶν ἀργία οὐδαμοῦ οὐδὲ ἔν τινι ἄλλῳ. ἀργία γὰρ ὄνομα κενόν
6 *ἐστι καὶ τοῦ ποιοῦντος καὶ τοῦ γινομένου. πάντα δὲ δεῖ γίνεσθαι καὶ ἀεὶ καὶ καθ' ἑκάστου τόπου ῥοπήν. ὁ γὰρ ποιῶν ἐν πᾶσίν ἐστιν, οὐκ ἔν τινι ἱδρυμένος, οὐδὲ ἕν τι ποιῶν, ἀλλὰ πάντα. δύναμις γὰρ ὢν ἐνεργὴς οὐκ αὐτάρκης ἐστὶ τοῖς γινομένοις, ἀλλὰ τὰ γινόμενα ὑπ' αὐτῷ. θέασαι δὲ δι' ἐμοῦ τὸν κόσμον ὑποκείμενον τῇ σῇ ὄψει,*

3. *περιβάλλοι* A. 5. *οὐδὲν*] *οὐ* Patr. 7. 8. *ζωὴ . . ἀθανασία . . μεταβολὴ*] sic Tied., *ζωῆς . . ἀθανασίας . . μεταβολῆς* libri. 8. *καὶ* om. Patr. || post *ἄλλο* libri repetunt *τι*, expunxit Tied. 11. *οὐδὲ ἔν τινι ἄλλῳ* om. Patr. || *καινόν* AB. 13. *ῥοήν* B, *φύσιν* Patr. 14. *ἕν τι*] *ἔν τινι* AB Verg. 15. *οὐκ*] *καὶ* Patr.

tabit aliquis; hoc universum deus operatur; operatio autem dei potentia existit insuperabilis, cui neque humana neque divina quispiam comparaverit. ideo, o Hermes, neque inferorum neque sublimium simile quid putes esse deo, nam a veritate excideres. non enim simile quidquam dissimili et soli et uni; neque alii cuiquam putes potentia sua cedere; quae enim post illum vita et immortalitas et mutatio qualitatis? quid enim ipse aliud faceret? non enim otiosus est deus, quandoquidem cuncta forent otiosa; omnia namque plena dei; sed neque in mundo ullibi est otium neque in quoquam alio. otium enim nomen est vacuum et faciente et eo quod fit. omnia vero oportet fieri et semper et secundum loci naturam. effector enim in omnibus est, nec in aliquo residens, neque unum quid faciens, sed omnia. nam cum sit potentia efficax non sufficiens est ad ea

τό τε κάλλος αὐτοῦ ἀκριβῶς κατανόησον, σῶμα μὲν ἀκή-
ρατον, καὶ οὗ παλαιότερον οὐδέν, διὰ παντὸς δὲ ἀκμαῖον
καὶ νέον καὶ μᾶλλον ἀκμαιότερον. ἰδὲ καὶ τοὺς ὑποκει- 7
μένους ἑπτὰ κόσμους κεκοσμημένους τάξει αἰωνίῳ καὶ
δρόμῳ διαφόρῳ τὸν αἰῶνα ἀναπληροῦντας, φωτὸς δὲ
πάντα πλήρη, πῦρ δὲ οὐδαμοῦ, ἡ γὰρ φιλία καὶ ἡ σύγ-
κρασις τῶν ἐναντίων καὶ τῶν ἀνομοίων φῶς γέγονε κα-
ταλαμπόμενον ὑπὸ τῆς τοῦ θεοῦ ἐνεργείας, παντὸς ἀγα-
θοῦ γεννήτορος καὶ πάσης τάξεως ἄρχοντος καὶ ἡγεμό-
νος τῶν ἑπτὰ κόσμων· σελήνην δὲ ἐκείνων πρόδρομον
πάντων, ὄργανον τῆς φύσεως, τὴν κάτω ὕλην μεταβάλ-
λουσαν· τήν τε γῆν μέσην τοῦ παντὸς ὑποστάθμην τοῦ
καλοῦ κόσμου ἱδρυμένην, τροφὸν καὶ τιθηνὴν τῶν ἐπι-
γείων. θέασαι δὲ καὶ τὸ πλῆθος τῶν ἀθανάτων ζώων
ὅσον ἐστί, καὶ τὸ τῶν θνητῶν· μέσην δὲ ἀμφοτέρων,
τῶν τε ἀθανάτων καὶ τῶν θνητῶν, τὴν σελήνην περι-
πορευομένην. πάντα δὲ πλήρη ψυχῆς καὶ πάντα ὑπ' 8
αὐτῆς ἰδίως κινούμενα, τὰ μὲν περὶ τὸν οὐρανόν, τὰ δὲ

2. post οὐδέν AB Turn. Fluss. add. ἔσται. 3. καὶ μᾶλλον ἀκμαιότερον om. Patr. 9. 10. ἄρχων καὶ ἡγεμὼν AB Vergic. 17. 18. ὑπ' αὐτῆς ἰδίως] sic Patr., om. reliqui.

quae facta sunt; sed ea quae fiunt sub eo sunt. intuere per me mundum subiectum tuo aspectui, et pulchritudinem eius diligenter considera, corpus quidem immarcescibile, quo antiquius nihil, semper vigorosum et recens magisque vigorosum. inspice et subiectos septem mundos, ornatos ordine aeterno et cursu differenti aeternitatem adimplentes, lumine omnia plena, ignem autem nullibi; amicitia enim et contemperatio contrariorum et dissimilium lumen factum est, illustratum a dei actu, omnis boni genitoris et omnis ordinis principis et ducis septem mundorum; lunam vero illorum praecursorem omnium, organum naturae, inferam materiam mutantem; terram vero in medio universi sedimentum pulchri mundi stabilitam, educatricem et nutricem terrenorum. conspice multitudinem quoque immortalium animalium quanta sit, et mortalium; mediam vero utrorumque, immortalium et mortalium, lunam circumeuntem.

περὶ τὴν γῆν, καὶ μήτε τὰ δεξιὰ ἐπὶ τὰ ἀριστερὰ μήτε τὰ ἀριστερὰ ἐπὶ τὰ δεξιὰ μήτε τὰ ἄνω κάτω μήτε τὰ κάτω ἄνω. καὶ ὅτι πάντα ταῦτα γεννητά, ὦ φίλτατε Ἑρμῆ, οὐκ ἔτι ἐμοῦ χρήζεις μαθεῖν· καὶ γὰρ σώματά ἐστι καὶ ψυχὴν ἔχει καὶ κινεῖται. ταῦτα δὲ εἰς ἓν συνελθεῖν ἀδύνατον χωρὶς τοῦ συνάγοντος. δεῖ οὖν
9 τινα εἶναι τοῦτον καὶ τοιοῦτον πάντως ἕνα. διαφόρων γὰρ καὶ πολλῶν οὐσῶν τῶν κινήσεων καὶ τῶν σωμάτων οὐχ ὁμοίων, μιᾶς δὲ κατὰ πάντων ταχύτητος τεταγμένης, ἀδύνατον δύο ἢ πλείους ποιητὰς εἶναι. μία γὰρ ἐπὶ πολλῶν οὐ τηρεῖται τάξις· ζῆλος δὲ τοῖς ἀσθενεστέροις παρέψεται τοῦ κρείττονος καὶ ἐριοῦσι. καὶ εἰ ἕτερος ἦν ὁ ποιητὴς τῶν μεταβλητῶν ζώων καὶ θνητῶν, ἐπεθύμησεν ἂν καὶ ἀθανάτους ποιῆσαι, ὥσπερ καὶ ὁ τῶν ἀθανάτων θνητούς. φέρε δὴ εἰ καὶ δύο εἰσί,

6. ἓν] ἕνα A. 7. τοιοῦτον om. AB Turn. || εἶναι τοιοῦτον καὶ πάντως Verg. Fluss. || ante διαφόρων AB Turn. Fluss. add. ἐν. 12. ἀσθενεστέροις] πολλοῖς AB Turn. Fluss. || παρέπεται AB. || καὶ ante ἐριοῦσι] ὅθεν ἔριδες Patr. || ἐριοῦσι] ἐρῶ σοι AB Patr., ἐρῶσι Verg. 14. 15. ἀθανάτους et θνητούς.] sic B Patr., ἀθάνατα et θνητά. A Turn. Fluss. 15. εἰ] ὅτι AB, ὅτι εἰ Patr.

omnia plena sunt animae et omnia ab ea proprie mota, haec quidem circa caelum, illa vero circa terram, neque dextra in sinistram neque sinistra in dextram neque supera ad infera neque infera ad supera. et haec omnia genita esse, o amantissime Hermes, non amplius me indiges addiscere; etenim corpora sunt et animam habent et moventur. haec autem in unum coire nequeunt sine congregatore. oportet igitur aliquem esse hunc et talem omnino unum. nam cum differentes et multae sint motiones et corpora non similia et una velocitas in omnibus ordinata, impossibile est duos aut plures factores esse. unus enim in multis non servatur ordo; aemulatio namque infirmiorum in praestantiorem consequeretur, unde contentiones. et si alius esset factor mutabilium animalium et mortalium, concupisceret etiam immortalia facere, sicuti factor immortalium mortalia. age vero, quodsi etiam duo sint, cum una sit

*μιᾶς οὔσης τῆς ὕλης καὶ μιᾶς τῆς ψυχῆς, παρὰ τίνι ἂν
αὐτῶν ἡ χορηγία τῆς ποιήσεως; εἰ δέ τι καὶ παρὰ ἀμ-
φοτέροις, παρὰ τίνι τὸ πλεῖον μέρος; οὕτω δὲ νόει, ὡς* 10
*παντὸς σώματος ζῶντος ἐξ ὕλης καὶ ψυχῆς τὴν σύστασιν
ἔχοντος, καὶ τοῦ ἀθανάτου καὶ τοῦ θνητοῦ καὶ τοῦ ἀλό-
γου. πάντα γὰρ σώματα ζῶντα ἔμψυχα, τὰ δὲ μὴ ζῶντα
ὕλη πάλιν καθ' ἑαυτήν ἐστι. καὶ ψυχὴ ὁμοίως καθ'
ἑαυτὴν τῷ ποιητῇ παρακειμένη, τῆς ζωῆς αἰτία· τῆς δὲ
ζωῆς πάσης αἴτιος ὁ τῶν ἀθανάτων.*

Ἑρμῆς. Πῶς οὖν καὶ τὰ θνητὰ ζῶα ἄλλα τῶν θνητῶν; πῶς δὲ τὸ ἀθάνατον καὶ ἀθανασίαν ποιοῦν τὰ ζῶα μὴ ποιεῖ;

Νοῦς. Καὶ ὅτι μέν ἐστί τις ὁ ποιῶν ταῦτα δῆλον· 11
ὅτι δὲ καὶ εἷς φανερώτατον. καὶ γὰρ μία ψυχὴ καὶ μία ζωὴ καὶ μία ὕλη.

Ἑρμῆς. Τίς δὲ οὗτος;

1. *καὶ μιᾶς τῆς ψυχῆς* om. Patr. 2. *παρὰ*] *περὶ* A. 9. *πάσης*] sic B, *πᾶς* A Turn. Fluss., *πῶς* Patr. 10. sqq. personarum distinctionem ex Tied. sumpsi. 11. *θνητῶν*] *ἀθανάτων* Tied. 11. 12. *τὰ ζῶα*] sic Patr., *τὰ ζώων* AB, *ζῶον* reliqui. 12. *ποιεῖν* AB. 14. *δὲ* om. A.

materia et una anima, penes quemnam eorum erogatio erit factionis? et si quid apud utrosque, penes quem maior pars? sic vero cogita, omne corpus vivens ex materia et anima consistentiam habere, tam immortale quam mortale et irrationale. omnia namque corpora viventia animata sunt, non viventia vero nuda per se materia. et anima similiter per se ipsam factori accedens, vitae caussa; omnis autem qui vitae caussa est immortalium caussa est.

Hermes. Quomodo ergo et mortalia animalia alia sunt a mortalibus? quomodo et immortale et immortalitatem efficiens animalia non facit?

Mens. Quod quidem aliquis sit haec efficiens, certum; quod etiam unus, clarissimum. etenim una anima et una vita et una materia.

Hermes. Quis vero hic?

Νοῦς. Τίς δὲ ἂν ἄλλος, εἰ μὴ εἷς ὁ θεός; τίνι γὰρ ἂν ἄλλῳ πρέποι ζῶα ἔμψυχα ποιεῖν, εἰ μὴ μόνῳ τῷ θεῷ; εἷς οὖν θεός. γελοιότατον δέ, εἰ τὸν μὲν κόσμον ὡμολόγησας ἕνα εἶναι καὶ τὸν ἥλιον ἕνα καὶ τὴν σελήνην μίαν καὶ θειότητα μίαν, αὐτὸν δὲ τὸν θεὸν πόστον εἶναι
12 *θέλεις; πάντα οὖν αὐτὸς ποιεῖ ἐν πολλοῖς· καὶ τί μέγα τῷ θεῷ, ζωὴν καὶ ψυχὴν καὶ ἀθανασίαν καὶ μεταβολὴν ποιεῖν, σοῦ τοσαῦτα ποιοῦντος; καὶ γὰρ βλέπεις καὶ λαλεῖς καὶ ἀκούεις καὶ ὀσφραίνῃ καὶ γεύεις καὶ ἅπτῃ καὶ περιπατεῖς καὶ νοεῖς καὶ πνεῖς· καὶ οὐχ ἕτερος μέν ἐστιν ὁ βλέπων, ἕτερος δὲ ὁ ἀκούων, ἕτερος δὲ ὁ λαλῶν, ἄλλος δὲ ὁ ἁπτόμενος, ἄλλος δὲ ὁ ὀσφραινόμενος, ἄλλος δὲ ὁ περιπατῶν, καὶ ἄλλος ὁ νοῶν καὶ ἄλλος ὁ ἀναπνέων· ἀλλὰ εἷς ὁ ταῦτα πάντα ποιῶν. ἀλλὰ οὐδὲ δυνατὰ ἐκεῖνα χωρὶς τοῦ θεοῦ εἶναι. ὥσπερ γάρ, ἂν τούτων καταργηθῇς, οὐκ ἔτι ζῶον εἶ, οὕτως οὐδ' ἂν ἐκείνων καταργηθῇ ὁ*

1. *εἷς* om. AB. 3. *γελοιότατον δέ, εἰ*] sic B, turbato ordine editi. 3. 4. *ὡμολόγησεν* A, *ὁμολογήσομαι* B. 4. *ἕνα* ante *εἶναι*] *ἀεὶ* AB. 6. *πολλοῖς*] *πολλῷ* A Turn. || post *πολλοῖς* AB Turn. Fluss. add. *γελοιότατον*. 9. *ὀσφραίνεις* Patr. || *καὶ γεύεις*] sic Patr., om. reliqui. 14. *ποιῶν*] sic Tied., om. reliqui. || *οὐδὲ*] *οὐ* A.

Mens. Quisnam alius, nisi unus deus? cuinam alii convenit animalia animata facere, nisi ipsi deo? unus ergo deus. ridiculosissimum autem, si fatearis unum esse mundum et solem unum et lunam unam et deitatem unam, ipsum vero deum quotum esse vis? cuncta ergo unus ipse facit in multis; sed quid magnum deo, vitam et animam et immortalitatem et mutationem facere, cum tu tot res facias? etenim et cernis et loqueris et audis et odoras et gustas et tangis et ambulas et intelligis et spiras; nec alius est qui videt, alius qui audit, alius qui loquitur, alius qui tangit, alius qui olfacit, alius qui ambulat, alius qui intelligit, alius qui respirat; sed unus, qui haec omnia facit. neque possibile est sine deo illa esse. sicuti enim, si ab his otiere, non amplius animal es, sic si ab illis otietur deus, quod nefas est dicere, non amplius est deus. si enim demonstra-

θεός, ὃ μὴ θέμις ἐστὶν εἰπεῖν, οὐκ ἔτι ἐστὶ θεός. εἰ γὰρ 13
ἀποδέδεικται μηδὲν δυνάμενον εἶναι . . . ., πόσῳ μᾶλλον ὁ θεός. εἰ γάρ τί ἐστιν ὃ μὴ ποιεῖ, εἰ θέμις εἰπεῖν, ἀτελής ἐστιν. εἰ δὲ μήτε ἀργός ἐστι, τέλειος δέ, ἄρα πάντα ποιεῖ. πρὸς ὀλίγον δ' ἄν μοι σεαυτὸν ἐπιδῷς, ὦ Ἑρμῆ, ῥᾴδιον νοήσεις τὸ τοῦ θεοῦ ἔργον ἓν ὄν, ἵνα πάντα γίνηται τὰ γινόμενα ἢ τὰ ἅπαξ γεγονότα ἢ τὰ μέλλοντα γίνεσθαι. ἔστι δὲ τοῦτο, ὦ φίλτατε, ζωή, τοῦτο δέ ἐστι τὸ καλόν, τοῦτό ἐστι τὸ ἀγαθόν, τοῦτό ἐστιν ὁ θεός.

Εἰ δὲ καὶ ἔργῳ αὐτὸ θέλεις νοῆσαι, ἰδέ, τί σοι ἐγγί- 14
νεται θέλοντι γεννῆσαι. ἀλλ' οὐκ ἐκείνῳ τοῦτο ὅμοιον, ἐκεῖνος ἄρα οὐχ ἥδεται. οὐδὲ γὰρ ἄλλον ἔχει συνεργόν. αὐτουργὸς γὰρ ὢν ἀεί ἐστιν ἐν τῷ ἔργῳ, αὐτὸς ὢν ὃ ποιεῖ. εἰ γὰρ χωρισθείη αὐτοῦ, πάντα μὲν συμπεσεῖσθαι, πάντα δὲ τεθνήξεσθαι ἀνάγκη, ὡς μὴ οὔσης ζωῆς· εἰ δὲ πάντα ζῷα, μία δὲ καὶ ἡ ζωή, εἷς ἄρα καὶ ὁ θεός. καὶ πάλιν εἰ πάντα ζῷά ἐστι, καὶ τὰ ἐν τῷ οὐρανῷ καὶ τὰ ἐν τῇ γῇ, μία δὲ κατὰ πάντων ζωὴ ὑπὸ τοῦ θεοῦ γίνε-

2. post εἶναι excidisse videtur χωρὶς τοῦ θεοῦ. 3. εἰ ante θέμις] καὶ εἰ μὴ AB Turn. Fluss. 6. ἓν ὄν] ἀναγκαῖον Patr. 12. ἄλλο AB Turn. 16. ζῷα] ζεῖ Patr. || ἄρα om. Patr.

tum est nihil esse posse . . . ., quanto magis deus. nam si quid est, quod ille non faciat, si fas est dicere, imperfectus est. si vero non otiosus est sed perfectus, ergo omnia facit. parumper mihi te praebe, o Hermes, facilius intelliges dei opus esse unum, ut omnia fiant quae fiunt vel semel facta vel futura. haec autem, o carissime, vita est, hoc pulchrum, hoc bonum, hic ipse deus.

Si vis etiam opere id intelligere, vide quid tibi generare volenti contingat. non attamen illi hoc simile, nimirum ipse non oblectatur. neque alium habet operis consortem. nam cum per se sit effector semper est in opere, ipse id existens quod facit. nam si ab eo separaretur, omnia corruere, omnia emori est necessarium, utpote vita non existente; sed si omnia vivunt, et una fit etiam vita, unus etiam deus. et rursus si omnia vivunt, et quae in caelo sunt et quae in terra, una vero in omnibus vita a deo fit, et haec est deus,

ται, καὶ αὕτη ἐστὶν ὁ θεός, ὑπὸ τοῦ θεοῦ ἄρα γίνεται πάντα. ζωὴ δέ ἐστιν ἕνωσις νοῦ καὶ ψυχῆς, θάνατος δὴ οὐκ ἀπώλεια τῶν συναχθέντων, διάλυσις δὲ τῆς ἑνώσεως.

15 Ἔστι τοίνυν εἰκὼν τοῦ θεοῦ ὁ αἰών, τοῦ δὲ αἰῶνος ὁ κόσμος, τοῦ δὲ κόσμου ὁ ἥλιος, τοῦ δὲ ἡλίου ὁ ἄνθρωπος. τὴν δὲ μεταβολὴν θάνατον οἱ λαοί φασιν εἶναι διὰ τὸ μὲν σῶμα διαλύεσθαι, τὴν δὲ ζωὴν εἰς τὸ ἀφανὲς χωρεῖν αὐτοῦ διαλυομένου. τούτῳ τῷ λόγῳ, φίλτατέ μοι Ἑρμῆ, καὶ τὸν κόσμον, ὡς ἀκούεις, φημὶ μεταβάλλεσθαι, διὰ τὸ γίνεσθαι μέρος αὐτοῦ καθ' ἑκάστην ἡμέραν ἐν τῷ ἀφανεῖ, μηδέποτε δὲ διαλύεσθαι. καὶ ταῦτά ἐστι τὰ τοῦ κόσμου πάθη, δινήσεις τε καὶ κρύψεις· καὶ

16 ἡ μὲν δίνησις στροφή, ἡ δὲ κρύψις ἀνανέωσις. παντόμορφος δέ ἐστιν ὁ κόσμος, οὐ τὰς μορφὰς ἐκτὸς κειμένας ἔχων, ἐν ἑαυτῷ δὲ αὐτὸς μεταβάλλων. ἐπεὶ οὖν ὁ κόσμος παντόμορφος γέγονεν, ὁ ποιήσας τί ἂν εἴη; ἄμορ-

6. οἱ λαοί] sic Patr., om. reliqui. 8. αὐτοῦ] sic Tied., τοῦ A Turn. Fluss., τὰ B, om. Patr. || διαλυόμενα B, om. Patr. 9. post κόσμον libri add. δεισιδαίμων, om. Patr. || φημὶ] εἴ φημι B. 11. δὲ om. A Turn. Fluss. || λύεσθαι Patr. 14. ὁ κόσμος om. AB Turn. Fluss. 14. 15. ἐκτὸς κειμένας] sic Patr., ἐκκειμένας A Verg., ἐγκειμένας B Turn. Fluss. 15. ἔχει Patr. || μεταβάλλει Patr.

a deo igitur fiunt omnia. vita vero unio est mentis et animae, mors vero non est perditio eorum quae coierunt, sed solutio unionis.

Est igitur imago dei aeon, aeonis mundus, mundi sol, solis homo. mutationem vero mortem homines dicunt eo, quod corpus quidem solvitur, vita vero eo dissoluto in obscurum abit. hoc sermone, o dilectissime mihi Hermes, etiam mundum, ut audis, dico mutari eo, quod pars eius aliqua fiat quotidie invisibilis, nunquam tamen solvi. et hae sunt mundi passiones, vertigines occultationes; et vertigo quidem est revolutio, occultatio vero renovatio. omniformis vero est mundus, non quidem formas extra se habens, sed in se ipso mutans. cum igitur mundus omniformis sit, factor eius quidnam erit? informis quidem non erit; si vero ipse omniformis, similis erit

φος μὲν γὰρ μὴ γένοιτο· εἰ δὲ καὶ αὐτὸς παντόμορφος,
ὅμοιος ἔσται τῷ κόσμῳ. ἀλλὰ μίαν ἔχων μορφὴν κατὰ
τοῦτο ἐλάττων ἔσται τοῦ κόσμου. τί οὖν φαμεν αὐτὸν
εἶναι, μὴ εἰς ἀπορίαν τὸν λόγον περιστήσωμεν; οὐδὲν
γὰρ ἄπορον περὶ τοῦ θεοῦ νοούμενον. μίαν οὖν ἔχει
ἰδέαν, ἥτις ἐστὶν αὐτοῦ ἰδία, ἥτις ταῖς ὄψεσιν οὐχ ὑπο-
σταίη ἀσώματος, καὶ πάσας διὰ τῶν σωμάτων δείκνυσι.
καὶ μὴ θαυμάσῃς, εἰ ἔστι τις ἀσώματος ἰδέα. ἔστι γὰρ 17
ὥσπερ ἡ τοῦ λόγου, καὶ ἐν ταῖς γραφαῖς ἀκρώρειαι. ὁρῶν-
ται μὲν γὰρ πάνυ ἐξέχουσαι, λεῖαι δὲ τῇ φύσει καὶ ὁμα-
λαί εἰσι παντελῶς. ἐννόησον δὲ τὸ λεγόμενον τολμηρό-
τερον, ἀληθέστερον δέ· ὥσπερ γὰρ ὁ ἄνθρωπος χωρὶς
ζωῆς οὐ δύναται ζῆν, οὕτως οὐδὲ ὁ θεὸς δύναται ζῆν μὴ
ποιῶν τὸ ἀγαθόν. τοῦτο γὰρ ὥσπερ ζωὴ καὶ ὥσπερ κί-
νησίς ἐστι τοῦ θεοῦ, κινεῖν τὰ πάντα καὶ ζωοποιεῖν. ἔνια 18
δὲ τῶν λεγομένων ἰδίαν ἔννοιαν ἔχειν ὀφείλει· οἷον ὃ
λέγω νόησον· πάντα ἐστὶν ἐν τῷ θεῷ, οὐχ ὡς ἐν τόπῳ
κείμενα· ὁ μὲν γὰρ τόπος καὶ σῶμά ἐστι καὶ ἀκίνητον,

3. αὐτὸν om. A. 6. ἰδέαν, ἥτις] εἰ δὲ ἂν εἴ τις Λ, εἰ δ' εἴη, τίς B. 8. τις om. Patr. 13. ζῆν ante μὴ om. AB Turn. Fluss. 18. ante ἀκίνητον AB repetunt σῶμα.

mundo. sed unam habens formam, quod ad hoc minor erit mundo. quid ergo ipsum esse dicimus, ne sermonem in dubium iniiciamus? nihil enim dubium est, quod de deo intelligitur. unam ergo habet ideam, quae eius est propria, quae visum, quia est incorporea, non subit, sed omnes per corpora ostendit. neque mireris, si qua est incorporea idea. est enim qualis dictionis et in scripturis margines. cernuntur namque valde sustolli, glabrae tamen natura et aequales sunt prorsus. percipe vero quod audacius dicitur, verius tamen; sicuti enim homo sine vita non potest vivere, sic neque deus potest vivere, nisi faciat bonum. hoc enim tamquam vita et motio est dei, movere cuncta et vivificare. quaedam vero dictorum proprium conceptum habere debent; quid autem dico percipe; omnia sunt in deo, non ut in loco iacentia; locus enim et corpus est et immobilis, et iacentia motionem non habent. iacent enim aliter in

καὶ τὰ κείμενα κίνησιν οὐκ ἔχει. κεῖται γὰρ ἄλλως ἐν ἀσωμάτῳ, ἄλλως ἐν φαντασίᾳ· νόησον τὸν περιέχοντα τὰ πάντα, καὶ νόησον, ὅτι τοῦ ἀσωμάτου οὐδέν ἐστι περιεκτικώτερον οὐδὲ ταχύτερον οὐδὲ δυνατώτερον, αὐτὸ δὲ πάντων περιεκτικώτατον καὶ ταχύτατον καὶ δυνατώτατον.

19 καὶ οὕτω νόησον ἀπὸ σεαυτοῦ καὶ κέλευσόν σου τῇ ψυχῇ Ἰνδικὴν πορευθῆναι, καὶ ταχύτερόν σου τῆς κελεύσεως ἐκεῖ ἔσται· μετελθεῖν δὲ αὐτῇ κέλευσον ἐπὶ τὸν ὠκεανόν, καὶ ἐκεῖ πάλιν ταχέως ἔσται, οὐχ ὡς μεταβᾶσα ἀπὸ τόπου εἰς τόπον, ἀλλ' ὡς ἐκεῖ οὖσα· κέλευσον δὲ αὐτῇ καὶ εἰς τὸν οὐρανὸν ἀναπτῆναι, καὶ οὐδὲ πτερῶν δεηθήσεται, ἀλλ' οὐδὲ αὐτῇ οὐδὲν ἐμπόδιον, οὐ τὸ τοῦ ἡλίου πῦρ, οὐχ ὁ αἰθήρ, οὐχ ἡ δίνη, οὐδὲ τὰ τῶν ἄλλων ἀστέρων σώματα· πάντα δὲ διατεμοῦσα ἀναπτήσεται μέχρι τοῦ ἐσχάτου σώματος. εἰ δὲ βουληθείης καὶ αὐτὸ ὅλον διαρρήξασθαι, καὶ τὰ ἐκτός, εἴ γέ τι ἐκτὸς τοῦ κόσμου,

1. οὐκ om. B. || κινεῖται (corr. κεῖται) B. 2. ἄλλως ἐν om. AB Turn. Fluss. 3. 4. περιοριστικὸν AB Turn. Fluss. 5. περιεκτικώτατον] καὶ ἀπεριόριστον AB Turn. Fluss. 7. Ἰνδικὴν] sic Patr., ἣν δὲ (δεῖ) καὶ AB, ἐκεῖσε Turn. Fluss., εἰς ἣν δὲ καὶ Vergic. 9. καὶ] οὕτως Fluss. || μεταβάσει Patr. 9. 10. μεταβᾶσα — ἀλλ' ὡς om. A. 12. τὸ om. B. 13. ante δίνη Tied. add. τοῦ ἡλίου. || οὐδὲ] οὐχὶ AB Turn. Fluss. 14. ἀναβήσεται Verg.

incorporeo, aliter in phantasia; concipe eum, qui omnia continet, et percipe, quod incorporei nihil est capacius neque velocius neque potentius, ipsum vero capacissimum et velocissimum et potentissimum. et ita apud te ipsum speculare et praecipe animae tuae, ut in Indiam vadat, et celerius tua iussione illic erit; transire eam iube ad Oceanum, et ibi rursus cito erit, non tamquam a loco in locum delata, sed velut ibi existens. iube ipsam et in caelum evolare, neque alis egebit, neque ei ullum erit impedimentum, non solis ignis, non aether, non vertigo, neque aliorum astrorum corpora; sed omnia perscindens ascendet usque ad postremum corpus. quodsi hoc universum volueris perrumpere, et quae extra (si quidem

θεάσασθαι, ἔξεστί σοι. ἰδὲ ὅσην δύναμιν, ὅσον τάχος 20 ἔχεις. σὺ τὰ σύμπαντα δύνασαι ταῦτα, ὁ θεὸς δὲ οὔ; τοῦτον οὖν τὸν τρόπον νόησον τὸν θεόν, ὥσπερ νοήματα πάντα ἐν ἑαυτῷ ἔχειν, τὸν κόσμον αὐτὸν ὅλον. ἐὰν οὖν μὴ σεαυτὸν ἐξισάσῃς τῷ θεῷ, τὸν θεὸν νοῆσαι οὐ δύνασαι· τὸ γὰρ ὅμοιον τῷ ὁμοίῳ νοητόν. συναύξησον σεαυτὸν τῷ ἀμετρήτῳ μεγέθει, παντὸς σώματος ἐκπηδήσας καὶ πάντα χρόνον ὑπεράρας αἰὼν γενοῦ, καὶ νοήσεις τὸν θεόν· μηδὲν ἀδύνατον ἐν σεαυτῷ ὑποστησάμενος σεαυτὸν ἥγησαι ἀθάνατον καὶ πάντα δυνάμενον νοῆσαι, πᾶσαν μὲν τέχνην, πᾶσαν δὲ ἐπιστήμην, παντὸς ζώου ἦθος. παντὸς δὲ ὕψους ὑψηλότερος γενοῦ καὶ παντὸς βάθους ταπεινότερος. πάσας δὲ τὰς αἰσθήσεις τῶν ποιητῶν σύλλαβε ἐν σεαυτῷ, πυρός, ὕδατος, ξηροῦ καὶ ὑγροῦ· καὶ ὁμοῦ πανταχῇ εἶναι, ἐν γῇ, ἐν θαλάττῃ, ἐν οὐρανῷ, μηδέπω γεγενῆσθαι, ἐν τῇ γαστρὶ εἶναι, νέος, γέρων, τεθνηκέναι, τὰ μετὰ τὸν θάνατον· καὶ ταῦτα πάντα ὁμοῦ

2. σὺ τὰ σύμπαντα] sic Patr., εἶτα σὺ μὲν reliqui. 6. τῷ ὁμοίῳ] sic Verg. Patr., τῶν ὁμοίων reliqui. 12. ὑψηλότατος A Patr. 13. ποιημάτων Patr.

quid extra sit) speculari, tibi licet. intuere, quantam vim, quantam celeritatem habeas. tu omnia haec potes, deus autem nequaquam? hoc ergo modo contemplare deum, tamquam intellectiones omnes in se habere, mundum universum. si ergo te ipsum non aequiparas deo, deum intelligere non potes; simile enim simili intelligibile est. augeas te immensa magnitudine, ab omni corpore exiliens et totum tempus superans aevum fias, et intelliges deum; nihil impossibile in te ipso stabiliens, te ipsum puta immortalem et omnia potentem intelligere, omnem artem, omnem scientiam, omnis animalis morem. omni altitudine altior fias et omni profunditate depressior. omnes sensus eorum, quae facta sunt, comprehende in te, ignis, aquae, sicci, humidi; et simul ubique esse, in terra, in mari, in caelo, nondum te natum esse, in utero te esse, iuvenem, senem, obiisse, ea quae post obitum; et haec omnia simul intelligens, tempora, loca,

νοήσας, χρόνους, τόπους, πράγματα, ποιότητας, ποσότη-
21 τας, δύνασαι νοῆσαι τὸν θεόν. ἐὰν δὲ κατακλείσῃς σου
τὴν ψυχὴν ἐν τῷ σώματι καὶ ταπεινώσῃς αὐτὴν καὶ εἴ-
πῃς, οὐδὲν νοῶ, οὐδὲν δύναμαι, φοβοῦμαι τὴν θάλασσαν,
εἰς τὸν οὐρανὸν ἀναβῆναι οὐ δύναμαι, οὐκ οἶδα τίς ἤμην,
οὐκ οἶδα τίς ἔσομαι, τί σοὶ καὶ τῷ θεῷ; οὐδὲν γὰρ δύ-
νασαι τῶν καλῶν καὶ ἀγαθῶν, φιλοσώματος καὶ κακὸς
ὤν, νοῆσαι· ἡ γὰρ τελεία κακία τὸ ἀγνοεῖν τὸ θεῖον, τὸ
δὲ δύνασθαι γνῶναι καὶ θελῆσαι καὶ ἐλπίσαι ὁδός ἐστιν
εὐθεῖα, ἰδία τοῦ ἀγαθοῦ, καὶ φέρουσα, καὶ ῥᾳδία· ὁδεύ-
οντί σοι πανταχοῦ συναντήσει, πανταχοῦ ὀφθήσεται, ὅπου
τε καὶ ὅτε οὐ προσδοκᾷς, γρηγοροῦντι, κοιμωμένῳ, πλέ-
οντι, ὁδεύοντι, νυκτός, ἡμέρας, λαλοῦντι, σιωπῶντι· οὐδὲν
γάρ ἐστιν ὃ οὐκ ἔστιν εἰκὼν τοῦ θείου.
22 Ἑρμῆς. Ἀόρατος ὁ θεός;

1. νοήσεις AB Verg. Patr. 2. ante δύνασαι Patr. add. οὔπω. 3. ἑαυτὴν A. 5. ἤμην] εἰμί Patr. 7. τὸν καλὸν καὶ ἀγαθόν A. 8. τελεία κακία] τρισκακία Patr. || τὸ θεῖον] τὸν θεόν Patr. 10. post εὐθεῖα Patr. add. καὶ θεία. 12. γρηγοροῦντι, κοιμωμένῳ om. A. 14. εἰκὼν τοῦ θείου] sic Patr., ἐν εἰκόνι ταφῆς reliqui. || post θείου Patr. add. εἶτα φῇς. 15. et p. 99 v. 1. personarum distinctionem ex Ficini versione addidi.

res, qualitates, quantitates, sic poteris intelligere deum. si vero incluseris animam tuam in corpore et humilem eam feceris et dixeris, nihil intelligo, nihil possum, timeo mare, in caelum scandere non possum, nescio quis fuerim, nescio quis fiam, quid tibi cum deo? nihil enim potes pulchrorum et bonorum intelligere, cum corpus ames et malus sis. extrema vero pravitas est ignorare deum, nosse vero et velle et sperare posse via est recta, propria boni et plana et facilis; itineranti tibi ubique occurret et ubique cernetur, ubi et quando non exspectas, vigilanti, dormienti, naviganti, itineranti, noctu, interdiu, loquenti, tacenti; nihil est enim, quod non sit imago dei.

Hermes. Invisibilis est deus?

Νοῦς. *Εὐφήμησον. καὶ τίς αὐτοῦ φανερώτερος; δι' αὐτὸ τοῦτο πάντα ἐποίησεν, ἵνα διὰ πάντων αὐτὸν βλέπῃς. τοῦτό ἐστι τὸ ἀγαθὸν τοῦ θεοῦ, τοῦτο δὲ αὐτοῦ ἀρετή, τὸ αὐτὸν φαίνεσθαι διὰ πάντων. οὐδὲν γὰρ ἀόρατον οὐδὲ τῶν ἀσωμάτων· νοῦς ὁρᾶται ἐν τῷ νοεῖν, ὁ θεὸς ἐν τῷ ποιεῖν. ταῦτά σοι ἐπὶ τοσοῦτον πεφανέρωται, ὦ τρισμέγιστε. τὰ δὲ ἄλλα πάντα ὁμοίως κατὰ σεαυτὸν νόει καὶ οὐ διαψευσθήσῃ.*

1. φανερώτατος AB Turn. Fluss. 4. 5. ὁρατὸν AB Turn. Fluss.

Mens. Bene ominare. quis eo manifestior? ob hoc ipsum omnia fecit, ut per omnia eum cernas. hoc est bonum dei, hoc eius virtus, ut ipse cernatur per omnia. nihil enim invisibile neque incorporeorum quid; intellectus cernitur in intelligendo, deus in faciendo. haec tibi in tantum palam facta sunt, o Trismegiste. alia vero omnia similiter per te ipsum speculare et non errabis.

Ἑρμοῦ τοῦ τρισμεγίστου περὶ νοῦ κοινοῦ πρὸς Τάτ. 12

Ἑρμῆς. *Ὁ νοῦς, ὦ Τάτ, ἐξ αὐτῆς τῆς τοῦ θεοῦ οὐσίας* 1
ἐστίν, εἴ γέ τίς ἐστιν οὐσία θεοῦ· καὶ ποία τις οὖσα τυγχάνει

9. τοῦ om. B. 11. τῆς om. B.

Hermetis Trismegisti de mente communi ad filium Tat.

Hermes. Mens, o Tat, ex ipsa dei essentia est, si quae tamen est essentia dei; et qualis sit iste solus exacte novit. mens ergo

*οὗτος μόνος ἀκριβῶς οἶδεν. ὁ νοῦς οὖν οὐκ ἔστιν ἀποτετμη-
μένος τῆς οὐσιότητος τοῦ θεοῦ, ἀλλ' ἡνωμένος, καθάπερ τὸ
τοῦ ἡλίου φῶς. οὗτος δὲ ὁ νοῦς ἐν μὲν ἀνθρώποις θεός
ἐστι, διὸ καί τινες τῶν ἀνθρώπων θεοί εἰσι, καὶ ἡ αὐτῶν
ἀνθρωπότης ἐγγύς ἐστι τῆς θεότητος. καὶ γὰρ ὁ ἀγα-
θὸς δαίμων τοὺς μὲν θεοὺς εἶπεν ἀθανάτους ἀνθρώπους,
τοὺς δὲ ἀνθρώπους θεοὺς θνητούς· ἐν δὲ τοῖς ἀλόγοις*
2 *ζώοις ὁ νοῦς ἡ φύσις ἐστίν. ὅπου γὰρ ψυχὴ ἐκεῖ καὶ
νοῦς ἐστιν, ὥσπερ ὅπου ζωὴ ἐκεῖ καὶ ψυχή ἐστιν· ἐν δὲ
τοῖς ἀλόγοις ζώοις ἡ ψυχὴ ζωή ἐστι κενὴ τοῦ νοῦ· ὁ γὰρ
νοῦς ψυχῶν ἐστιν εὐεργέτης ἀνθρώπων· ἐργάζεται γὰρ
αὐτὰς εἰς τὸ ἴδιον ἀγαθόν· καὶ τοῖς μὲν ἀλόγοις τῇ
ἑκάστου φύσει συνεργεῖ, ταῖς δὲ τῶν ἀνθρώπων ἀντι-
πράσσει. ψυχὴ γὰρ πᾶσα ἐν σώματι γενομένη εὐθέως
ὑπό τε τῆς λύπης καὶ τῆς ἡδονῆς κακίζεται. σώματος
γὰρ συνθέτου ὥσπερ χυμοὶ ζέουσιν ἥ τε λύπη καὶ ἡ ἡδονή,*
3 *εἰς ἃς ἐμβᾶσα ἡ ψυχὴ βαπτίζεται. ὅσαις ἂν οὖν ψυχαῖς*

1. post *ἀκριβῶς* libri add. *αὐτὸν*, delevit Tied. 2. *ἡνωμένος*] *ὥσπερ ἡπλωμένος* AB Turn. Fluss. 6. *ἀνθρώπους* om. A Turn. Fluss. 8. *ὁ νοῦς* om. AB Turn. Fluss. 9. *ἐστιν* post *ψυχή* om. AB. 10. *τοῦ* om. B. 11. *γὰρ* om. Patr. 12. *ἴδιον* om. AB Turn. Fluss. 13. ante *ἑκάστου* AB Turn. Fluss. add. *δι'*. 14. *πᾶσα* om. B Patr. 16. *ῥέουσιν* Patr.

non est reccisa ab essentia dei, sed unita sicuti solis lumen. ista vero mens in hominibus deus est, ideo aliqui hominum dii sunt, et ipsorum humanitas proxima est deitati. etenim bonus daemon deos dixit homines immortales, homines vero deos mortales; in brutis vero mens est natura. nam ubi anima, ibi mens est, sicuti ubi vita, ibi anima; in brutis anima vita est vacua mente; mens enim animarum est benefactrix hominum; ducit eos in proprium bonum; et brutis quidem cuiusque naturae cooperatur, hominum vero naturis refragatur. anima omnis cum in corpus descenderit, illico a dolore et voluptate depravatur. nam corporis compositi quasi fluores fervent dolor et voluptas, in quae ingressa anima mergitur. quibuscunque ergo animabus mens praesidet, illas suo lumine illustrat,

ὁ νοῦς ἐπιστατήσῃ, ταύταις φαίνει ἑαυτοῦ τὸ φέγγος, ἀντιπράσσων αὐτῶν τοῖς προλήμμασιν, ὥσπερ ἰατρὸς ἀγαθὸς λυπεῖ τὸ σῶμα προειλημμένον ὑπὸ νόσου, καίων ἢ τέμνων ὑγιείας ἕνεκα· τὸν αὐτὸν τρόπον καὶ ὁ νοῦς ψυχὴν λυπεῖ ἐξυφαιρῶν αὐτὴν τῆς ἡδονῆς, ἀφ' ἧς πᾶσα νόσος ψυχῆς γίνεται. νόσος δὲ μεγάλη ψυχῆς ἀθεότης· ἔπειτα δόξα εἰς πάντα τὰ κακὰ ἐπακολουθεῖ καὶ ἀγαθὸν οὐδέν. ἆρ' οὖν ὁ νοῦς ἀντιπράσσων αὐτῇ τὸ ἀγαθὸν περιποιεῖται τῇ ψυχῇ, ὥσπερ καὶ ὁ ἰατρὸς τῷ σώματι τὴν
ὑγίειαν. ὅσαι δὲ ψυχαὶ ἀνθρώπιναι οὐκ ἔτυχον κυβερ- 4
νήτου τοῦ νοῦ τὸ αὐτὸ πάσχουσι ταῖς τῶν ἀλόγων ζώων. συνεργὸς γὰρ αὐταῖς γενόμενος καὶ ἀνέσας τὰς ἐπιθυμίας, εἰς ἃς φέρονται, τῇ ῥύμῃ τῆς ὀρέξεως πρὸς τὸ ἄλογον συντεινούσας, ὥσπερ τὸ ἄλογον τῶν ζώων ἀλόγως θυμούμεναι καὶ ἀλόγως ἐπιθυμοῦσαι οὐ παύονται οὐδὲ κόρον ἔχουσι τῶν κακῶν. θυμοὶ γὰρ καὶ ἐπιθυμίαι ἄλο-

2. *αὐτῶν*] *ἑαυτὸν* B. 4. *ὑγιείας ἕνεκα* om. AB Turn. Fluss. 4. 5. *ψυχὴν* om. A. 5. *ἐξυφαιρῶν*] *ἔξω φέρων* Patr. || *αὐτὴν τῆς ἡδονῆς*] sic AB Verg. Patr., *αὐτῆς τὴν ἡδονήν* reliqui. 6. *ἀθεότης*] *ἀξιότης* Verg. 9. *ὁ* om. A. 12. 13. *ταῖς ἐπιθυμίαις* B Verg. Patr. 14. *ὥσπερ*] *καὶ ὥσπερ* AB. || *τὰ ἄλογα* B. 15. *οὐδὲ*] sic AB Patr., *καὶ οὐδὲν* Turn. Fluss.

opponens sese earum praesumptis, sicuti medicus bonus dolore afficit corpus praecorreptum morbo, urens et secans sanitatis caussa; eodem modo mens animae dolorem infert, extrahens eam e voluptate, a qua omnis morbus animae fit. morbus magnus animae est impietas; ex quo opinio ad omnia mala sequitur et ad bonum nullum. mens autem sese opponens bonum confert animae, sicuti medicus corpori sanitatem. quotcunque vero animae humanae non sunt sortitae mentem gubernatricem idem patiuntur animis brutorum. cooperatrix enim iis facta et remittens cupiditates, in quas feruntur, impetu appetitus ad irrationalitatem tendentes, sicuti irrationalitas animalium irrationaliter irascuntur et concupiscunt, non cessant neque satietatem habent malorum. irae enim et concupiscentiae irra-

γοι κακίαι ὑπερβάλλουσαι. ταύταις δὲ ὥσπερ τιμωρὸν καὶ ἔλεγχον ὁ θεὸς ἐπέστησε τὸν νόμον.

5 *Τάτ. Ἐνταῦθα, ὦ πάτερ, ὁ περὶ τῆς εἱμαρμένης λόγος ὁ ἔμπροσθέν μοι ἐξεληλυθὼς κινδυνεύει ἀνατρέπεσθαι. εἰ γὰρ πάντως εἵμαρται τῷδέ τινι μοιχεῦσαι ἢ ἱεροσυλῆσαι ἢ ἄλλο τι κακὸν δρᾶσαι, διὰ τί κολάζεται ὁ ἐξ ἀνάγκης τῆς εἱμαρμένης δράσας τὸ ἔργον;*

Ἑρμῆς. Εἱμαρμένης γὰρ πάντα τὰ ἔργα, ὦ τέκνον, καὶ χωρὶς ἐκείνης οὐδέν τι τῶν σωματικῶν οὔτε ἀγαθὸν οὔτε κακὸν γενέσθαι συμβαίνει. εἵμαρται δὲ καὶ τὸ κακὸν ποιήσαντα τὸ παθεῖν. καὶ διὰ τοῦτο δρᾷ, ἵνα πάθῃ ὃ πάσχει, ὅτι ἔδρασε. 6 *τὸ δὲ νῦν ἐχέτω ὁ περὶ κακίας καὶ εἱμαρμένης λόγος, ἐν ἄλλοις γὰρ περὶ τούτων εἰρήκαμεν, νῦν δὲ περὶ νοῦ ἐστιν ἡμῖν ὁ λόγος, τί δύναται ὁ νοῦς, καὶ πῶς διάφορός ἐστιν, ἐν μὲν ἀνθρώποις τοιόσδε, ἐν δὲ τοῖς ἀλόγοις ζώοις ἠλλαγμένος· καὶ πάλιν,*

2. *νόμον*] *νοῦν* Patr. 3. 4. *λόγος, ὅν μοι πρόσθεν διεξῆλθες, κινδ.* B. 6. *διὰ τί*] *καὶ* A Patr., *τί καὶ* B. 9. *τι*] *ἐστι* Patr. 10. 11. *κακὸν*] *καλὸν* A Verg. 11. *τὸ* om. AB. 12. *ἐχέτω*] sic Patr., *ἔχον* reliqui. 13. *γὰρ*] *μὲν* AB Turn. Fluss. 15. *ὁ* om. AB Turn. Fluss. || *διάφορός*] sic Patr., *ἐνδιάφορός* reliqui. 16. *ζώοις* om. B Fluss.

tionales mala sunt nimia. his vero tamquam ultorem et redargutorem deus praefecit legem.

Tat. Hic, o pater, sermo de fato antea mihi enarratus videtur destrui. nam si fatale est huic moechari aut sacrilegium facere aut aliud quid mali patrare, cur punitur qui ex necessitate fati id fecit?

Hermes. Fati quidem cuncta opera, o fili, et sine illo nihil corporeorum aut bonum aut malum evenit. fato quoque statutum est, si fecerit malum, pati. et ob hoc facit, ut patiatur quod patitur, quia fecit. sed nunc valeat sermo de malo ac fato, in aliis enim de his diximus, nunc vero de mente est disserendum, quid scilicet possit mens, et quomodo differens sit, in hominibus quidem talis, in brutis animalibus vero mutatus; et rursus, quod in brutis

ὅτι ἐν μὲν τοῖς ἀλόγοις ζώοις οὐκ ἔστιν εὐεργητικός, ἀλλ'
ἐν ἀνθρώποις τό τε θυμικὸν καὶ τὸ ἐπιθυμητικὸν σβεν-
νύων. καὶ τούτων τοὺς μὲν ἐλλογίμους ἄνδρας δεῖ νοεῖν,
τοὺς δὲ ἀλόγους. πάντες δὲ οἱ ἄνθρωποι εἱμαρμένῃ ὑπό-
κεινται καὶ γενέσει καὶ μεταβολῇ· ἀρχὴ γὰρ καὶ τέλος
ταῦτα εἱμαρμένης. καὶ πάντες μὲν ἄνθρωποι πάσχουσι 7
τὰ εἱμαρμένα, οἱ δὲ ἐλλόγιμοι, ὧν ἔφαμεν τὸν νοῦν ἡγε-
μονεύειν, οὐχ ὁμοίως τοῖς ἄλλοις πάσχουσιν· ἀλλὰ τῆς
κακίας ἀπηλλαγμένοι, οὐ κακοὶ ὄντες κακὸν οὐ πάσχουσι.

Τάτ. Πῶς πάλιν λέγεις, ὦ πάτερ, ὁ μοιχὸς οὐ κακός; ὁ φονεὺς οὐ κακός; καὶ οἱ ἄλλοι πάντες;

Ἑρμῆς. Ἀλλ' ὁ ἐλλόγιμος, ὦ τέκνον, οὐ μοιχεύσας
πείσεται, ἀλλ' ὡς μοιχεύσας, οὐδὲ φονεύσας, ἀλλ' ὡς φο-
νεύσας. καὶ ποιότητα μεταβολῆς ἀδύνατόν ἐστι διεκφυ-
γεῖν, ὥσπερ καὶ γενέσεως· κακίαν δὲ τῷ νοῦν ἔχοντι διεκ-
φυγεῖν ἐστι. διὸ καὶ τοῦ ἀγαθοῦ δαίμονος, ὦ τέκνον, 8
ἐγὼ ἤκουσα λέγοντος ἀεί — καὶ εἰ ἐγγράφως ἐδεδώκει,
πάνυ ἂν τὸ τῶν ἀνθρώπων γένος ὠφελήκει· ἐκεῖνος γὰρ

1. ὅτι om. Patr. || ἀλόγοις] ἄλλοις AB. || ἐνεργετικός Fluss. 2. ἐν ἀνθρώποις] sic Patr., ἀνόμοιος ἐν ἀνδράσι Fluss., ἀνόμοιος ἐν πᾶσι AB Turn. 9. κακὸν οὐ om. AB Turn. Fluss. 17. ἐκδεδώκει B.

non sit benefica, sed in hominibus iracundiam et concupiscentiam exstinguens. et horum praeclaros viros oportet cogitare, alios vero ratione carentes. omnes homines fato subiiciuntur et generationi et mutationi; principium enim et finis haec sunt fati. et omnes quidem homines patiuntur fatalia, selecti autem, quibus diximus mentem esse ducem, non eodem modo cum aliis patiuntur; sed nequitiam abhorrentes, cum mali non sint, malum non patiuntur.

Tat. Quomodo dicis, o pater, nonne moechus est malus? nonne occisor? et alii omnes?

Hermes. Sed selectus, o fili, non moechatus patietur sed velut moechatus, neque occisor sed velut occisor. et qualitatem mutationis impossibile est effugere, sicuti etiam generationis; malitiam autem mentem habenti fugere licet. ideo bonum daemonem, o fili, audivi

*μόνος, ὦ τέκνον, ἀληθῶς, ὡς πρωτόγονος θεός, τὰ πάντα
κατιδὼν θείους λόγους ἐφθέγξατο — ἤκουσα γοῦν αὐτοῦ
ποτε λέγοντος, ὅτι ἕν ἐστι τὰ πάντα καὶ μάλιστα τὰ νοητὰ
σώματα· ζῶμεν δὲ δυνάμει καὶ ἐνεργείᾳ καὶ αἰῶνι. καὶ
ὁ νοῦς οὖν ἀγαθός ἐστιν, † ὅπερ ἐστὶν αὐτοῦ ἡ ψυχή·
τούτου δὲ τοιούτου ὄντος οὐδὲν διαστατόν ἐστι τῶν νοη-
τῶν· ὡς οὖν δυνατὸν νοῦν, ἄρχοντα πάντων καὶ ψυχὴν*
9 *ὄντα τοῦ θεοῦ, ποιεῖν ὅπερ βούλεται. σὺ δὲ νόει καὶ
τὸν λόγον τοῦτον ἀνένεγκαι πρὸς τὴν πεῦσιν, ἣν ἐπύθου
μου ἐν τοῖς ἔμπροσθεν, λέγω δὲ περὶ τῆς εἱμαρμένης τοῦ
νοῦ. ἐὰν γὰρ τοὺς ἐριστικοὺς λόγους ἀκριβῶς ἀφέλῃ, ὦ
τέκνον, εὑρήσεις ὅτι ἀληθῶς πάντων ἐπικρατεῖ ὁ νοῦς,
ἡ τοῦ θεοῦ ψυχή, καὶ εἱμαρμένης καὶ νόμου καὶ τῶν ἄλ-
λων πάντων· καὶ οὐδὲν αὐτῷ ἀδύνατον, οὔτε εἱμαρμένης
ὑπεράνω θεῖναι ψυχὴν ἀνθρωπίνην, οὔτε ἀμελήσασαν
ἅπερ συμβαίνει ὑπὸ τὴν εἱμαρμένην θεῖναι. καὶ ταῦτα*

2. *γοῦν*] *γὰρ* Patr. 5. *οὖν*] sic Patr., *τούτου* reliqui. || *ἀγαθός*] *ἄρα θεός* Fluss. || *ὅπερ*] sic B Patr., *ὅσπερ* reliqui. || *ἡ*] *καὶ* Fluss. 6. post *οὐδὲν* Patr. add. *νοητὸν*. || *ἐστι*] sic B, om. reliqui. 9. *ἐπείθου μοι* Verg. 11. *ὁριστικοὺς* B. 14. *οὔτε*] *οὐδὲ τῶν τῆς* Patr. 15. *ὑπεράνω θεῖναι*] sic Fluss., *ὑπεράνωθεν οὖν* reliqui. || *ψυχὴ ἀνθρωπίνη οὔτε ἀμελήσασα* Patr. 16. *θεῖναι*] sic Fluss., *εἶναι* reliqui.

semper dicentem — et si scriptis tradidisset, maxime genus humanum adiuvisset; ille enim solus, o fili, re vera, ut primogenitus deus, omnia conspiciens divinos sermones pronunciavit — audivi aliquando eum dicentem, unum omnia esse et maxime intelligibilia corpora; vivimus potentia et actu et aeone. ergo et mens bona est, † quid eius est anima; hoc vero cum ita se habeat nihil ab intelligibilibus semotum est; maxime cum fieri possit, mentem, omnium principem et dei animam, quae vult exsequi. tu vero intellige et hunc sermonem refer ad interrogationem, quam me ante interrogasti, de mentis inquam fato. si sermones litigiosos exacte sustuleris, o fili, invenies re vera omnibus dominari mentem, dei animam, et fato et legi et omnibus aliis. et nihil ei impossibile, neque supra fatum

*μὲν ἐπὶ τοσοῦτον λελέχθω τὰ τοῦ ἀγαθοῦ δαίμονος
ἄριστα.*

*Τάτ. Καὶ θείως, ὦ πάτερ, ταῦτα καὶ ἀληθῶς καὶ
ὠφελίμως. ἐκεῖνο δέ μοι ἔτι διασάφησον. ἔλεγες γὰρ* 10
*τὸν νοῦν ἐν τοῖς ἀλόγοις ζώοις φύσεως δίκην ἐνεργεῖν,
συνεργοῦντα αὐτῶν ταῖς ὁρμαῖς· αἱ δὲ ὁρμαὶ τῶν ἀλό-
γων ζώων, ὡς οἶμαι, πάθη εἰσίν· εἰ δὲ καὶ ὁ νοῦς συν-
εργεῖ ταῖς ὁρμαῖς, αἱ δὲ ὁρμαὶ τῶν ἀλόγων πάθη, καὶ ὁ
νοῦς ἄρα πάθος ἐστί, συγχρωτίζων τοῖς πάθεσιν.*

*Ἑρμῆς. Εὖ γε, ὦ τέκνον, γενναίως πυνθάνῃ· δίκαιον
δὲ κἀμὲ ἀποκρίνασθαι. πάντα, ὦ τέκνον, τὰ ἐν σώματι* 11
*ἀσώματα παθητὰ καὶ κυρίως αὐτά ἐστι πάθη. πᾶν γὰρ
τὸ κινοῦν ἀσώματον, πᾶν δὲ τὸ κινούμενον σῶμα. καὶ
τὰ ἀσώματα δὲ κινεῖται ὑπὸ τοῦ νοῦ, κίνησις δὲ πάθος.
πάσχει οὖν ἀμφότερα, καὶ τὸ κινοῦν καὶ τὸ κινούμενον,
τὸ μὲν ἄρχον, τὸ δὲ ἀρχόμενον· ἀπαλλαγεὶς δὲ τοῦ σώ-
ματος ἀπηλλάγη καὶ τοῦ πάθους. μᾶλλον δέ ποτε, ὦ
τέκνον, οὐδὲν ἀπαθές, πάντα δὲ παθητά. διαφέρει δὲ*

7. 8. *συνεργεῖται* A Patr. 8. *τῶν ἀλόγων* om. AB Turn. Fluss. 9. *συγχρωματίζων* libri, cf. cap. 10, 17. 17. *ποτε* om. B Patr.

ponere animam humanam, neque negligentem quae fiunt sub fatum ponere. sed haec hactenus dicta sint boni daemonis optima.

Tat. Et divine, o pater, et vere et utiliter dicta sunt. sed illud adhuc mihi declara. dicebas mentem in brutis naturae instar agere, et cooperari eorum impetui; impetus autem brutorum, ut puto, passiones sunt; quodsi mens cooperatur impetui, impetus vero brutorum sunt passiones, mens ergo passio est, concolor passionibus.

Hermes. Euge, o fili, generose interrogas; iustum est me quoque respondere. omnia, o fili, quae in corpore sunt incorporea, passibilia sunt et proprie passiones. omne enim movens incorporeum est, omne autem motum corpus. incorporea moventur a mente, motus autem passio est. patiuntur ergo ambo, movens et motum, illud ut princeps, hoc vero ut dominatum; liberatus a corpore liberatur a passione. sed potius, o fili, nihil est impassibile, omnia

πάθος παθητοῦ. τὸ μὲν γὰρ ἐνεργεῖ, τὸ δὲ πάσχει· τὰ δὲ σώματα καὶ καθ' αὑτὰ ἐνεργεῖ· ἢ γὰρ ἀκίνητά ἐστιν ἢ κινεῖται· ὁπότερον δὲ ἂν ᾖ, πάθος ἐστί· τὰ δὲ ἀσώματα ἀεὶ ἐνεργεῖται, καὶ διὰ τοῦτο παθητά ἐστι. μὴ οὖν σε αἱ προσηγορίαι ταραττέτωσαν, ἥ τε γὰρ ἐνέργεια καὶ τὸ πάθος ταὐτόν ἐστιν· εὐφημοτέρῳ δὲ τῷ ὀνόματι χρήσασθαι οὐ λυπεῖ.

12 *Τάτ. Σαφέστατα, ὦ πάτερ, τὸν λόγον ἀποδέδωκας.*

Ἑρμῆς. Κἀκεῖνο δὲ ὅρα, ὦ τέκνον, ὅτι δύο ταῦτα τῷ ἀνθρώπῳ ὁ θεὸς παρὰ πάντα τὰ θνητὰ ζῷα ἐχαρίσατο, τόν τε νοῦν καὶ τὸν λόγον, ἰσότιμα τῇ ἀθανασίᾳ· καὶ πρὸς τούτοις τὸν προφορικὸν λόγον ἔχει. τούτοις δὲ εἴ τις χρήσαιτο εἰς ἃ δεῖ, οὐδὲν τῶν ἀθανάτων διοίσει· μᾶλλον δὲ καὶ ἐξελθὼν ἐκ τοῦ σώματος ὁδηγηθήσεται ὑπὸ ἀμφοτέρων εἰς τὸν τῶν θεῶν καὶ μακάρων χορόν.

13 *Τάτ. Τὰ γὰρ ἄλλα ζῷα λόγῳ οὐ χρῆται, ὦ πάτερ;*

Ἑρμῆς. Οὔ, τέκνον, ἀλλὰ φωνῇ· πάμπολυ δὲ διαφέ-

1. *γὰρ* om. A. 10. *θνητὰ ζῷα*] *ἔθνη ζῷα*, corr. *ἔθνη τῶν ζώων* A., *ἔθνη τῶν ζώων* Verg. 12. *καὶ πρὸς — ἔχει* om. Patr. || *καὶ πρὸς τούτοις τὸν*] sic B, *τὸν δὲ* reliqui.

vero passibilia. differt vero passio a passibili. illud quidem agit, hoc vero patitur; corpora vero etiam per se agunt; vel enim immobilia sunt vel moventur; utrumvis autem fuerit, passio est; incorporea vero semper aguntur, et ob id passibilia sunt. non ergo appellationes te turbent, nam actio et passio idem sunt; faustiore vero nomine uti non est grave.

Tat. Clarissime, o pater, sermonem reddidisti.

Hermes. Et illud vide, o fili, duo haec homini deum praeter omnia mortalia animalia dedisse, mentem et sermonem, immortalitati aequalia; et praeter haec enuntiativum habet verbum. his si quis utatur ad ea quae oportet, nihil ab immortalibus differet; potius etiam exiens e corpore ducetur ab ambobus in deorum ac beatorum chorum.

Tat. Aliane animalia sermone utuntur, o pater?

Hermes. Non, fili, sed voce; plurimum differt sermo a voce.

ρει λόγος φωνῆς. ὁ μὲν γὰρ λόγος κοινὸς πάντων ἀνθρώπων, ἰδία δὲ ἑκάστου φωνή ἐστι γένους ζώου.

Τάτ. Ἀλλὰ καὶ τῶν ἀνθρώπων, ὦ πάτερ, ἕκαστον κατὰ ἔθνος διάφορος ὁ λόγος.

Ἑρμῆς. Διάφορος μέν, ὦ τέκνον, εἷς δὲ ὁ ἄνθρωπος, οὕτω καὶ ὁ λόγος εἷς ἐστι καὶ μεθερμηνεύεται, καὶ ὁ αὐτὸς εὑρίσκεται καὶ ἐν Αἰγύπτῳ καὶ Περσίδι καὶ Ἑλλάδι. δοκεῖς δέ μοι, ὦ τέκνον, ἀγνοεῖν ἀρετὴν καὶ μέγεθος λόγου. ὁ γὰρ μακάριος θεός, ἀγαθὸς δαίμων, ψυχὴν μὲν ἐν σώματι ἔφη εἶναι, νοῦν δὲ ἐν ψυχῇ, λόγον δὲ ἐν τῷ νῷ, τὸν νοῦν δὲ ἐν τῷ θεῷ, τὸν δὲ θεὸν τούτων πατέρα. ὁ οὖν λόγος ἐστὶν εἰκὼν τοῦ νοῦ, καὶ νοῦς 14
τοῦ θεοῦ, καὶ τὸ σῶμα δὲ τῆς ἰδέας, ἡ δὲ ἰδέα τῆς ψυχῆς. ἔστιν οὖν τῆς μὲν ὕλης τὸ λεπτομερέστατον ἀήρ, ἀέρος δὲ ψυχή, ψυχῆς δὲ νοῦς, νοῦ δὲ θεός. καὶ ὁ μὲν θεὸς περὶ πάντα καὶ διὰ πάντων, ὁ δὲ νοῦς περὶ τὴν ψυχήν, ἡ δὲ ψυχὴ περὶ τὸν ἀέρα, ὁ δὲ ἀὴρ περὶ τὴν ὕλην.

2. *ἑκάστου γένους ζώου φωνή ἐστι καλή.* Verg. 3. *ἑκάστου* Patr. 11. *τὸν νοῦν δὲ ἐν τῷ θεῷ* om. AB Turn. Fluss. || *τὸν δὲ θεὸν] γράφεται· τὸν οὖν θεὸν καὶ πατέρα ἐν τῷ λόγῳ* margo B. 12. *τοῦ νοῦ* om. AB Turn.

sermo communis est omnium hominum, propria vero cuiusque generis animalis vox est.

Tat. Sed etiam hominum, o pater, singulorum secundum quamque nationem differens est sermo.

Hermes. Differens, o fili, unus vero est homo, sic et oratio una est et interpretata eadem invenitur in Aegypto et in Perside et in Graecia. videris mihi, o fili, ignorare virtutem et magnitudinem sermonis. beatus deus, bonus daemon, animam quidem in corpore iussit esse, mentem autem in anima, rationem in mente, mentem in deo, deum vero horum patrem. ratio ergo imago est mentis, mens dei, corpus imago ideae, idea animae. materiae tenuissimum est aër, aëris vero anima, animae mens, mentis autem deus. deus quidem circa omnia et per omnia, mens vero circa animam, anima circa aërem, aër circa materiam. necessario et provi-

ἀνάγκη δὲ καὶ ἡ πρόνοια καὶ ἡ φύσις ὄργανά ἐστι τοῦ κόσμου καὶ τῆς τάξεως τῆς ὕλης· καὶ τῶν μὲν νοητῶν ἕκαστόν ἐστιν οὐσία, οὐσία δὲ αὐτῶν ἡ ταυτότης. τῶν δὲ τοῦ παντὸς σωμάτων ἕκαστον πολλά ἐστιν. ἔχοντα γὰρ τὴν ταυτότητα τὰ σύνθετα σώματα, καὶ τὴν μεταβολὴν εἰς ἄλληλα ποιούμενα, ἀεὶ τῆς ταυτότητος τὴν
15 ἀφθαρσίαν σώζει. ἐν δὲ τοῖς ἄλλοις συνθέτοις πᾶσι σώμασιν ἀριθμὸς ἑκάστου ἐστί· χωρὶς γὰρ ἀριθμοῦ σύστασιν ἢ σύνθεσιν ἢ διάλυσιν ἀδύνατον γενέσθαι. αἱ δὲ ἑνάδες τὸν ἀριθμὸν γεννῶσι καὶ αὔξουσι, καὶ πάλιν διαλυόμεναι εἰς ἑαυτὰς δέχονται. καὶ ἡ ὕλη μία· ὁ δὲ σύμπας κόσμος οὗτος, ὁ μέγας θεὸς καὶ τοῦ μείζονος εἰκών, καὶ ἡνωμένος ἐκείνῳ, καὶ συσσώζων τὴν τάξιν καὶ βούλησιν τοῦ πατρός, πλήρωμά ἐστι τῆς ζωῆς. καὶ οὐδέν ἐστιν ἐν τούτῳ διὰ παντὸς τοῦ αἰῶνος τῆς πατρῴας ἀποκαταστάσεως, οὔτε τοῦ παντὸς οὔτε τῶν κατὰ μέρος, ὃ οὐχὶ ζῇ. νεκρὸν γὰρ οὐδὲ ἓν οὔτε γέγονεν οὔτε ἔστιν οὔτε ἔσται ἐν τῷ κόσμῳ. ζωὴν γὰρ ἠθέλησεν ὁ πατὴρ

1. ἡ ante πρόνοια et ante φύσις om. B. 3. οὐσία om. Patr. 5. τὰ om. B. || ἀσύνθετα Tied. 13. σώζων A. 15. πατρῴας om. Patr. 18. ζωὴν] sic Fluss., ζῶον reliqui.

dentia et natura organa sunt mundi et ordinis materiae; intelligibilium quodque est essentia, essentia vero eorum est identitas. corporum universi quodque multitudo est. nam corpora composita cum identitatem habeant et in se invicem mutentur, semper identitatis incorruptionem servant. in aliis vero omnibus compositis corporibus numerus cuiusque est; sine numero enim constitutio aut compositio aut dissolutio fieri non potest. unitates numerum generant et augent, et rursus dissolutae in se ipsas recipiunt. et materia una; universus autem hic mundus, magnus deus et maioris imago, et unitus illi, et servans ordinem et voluntatem patris, plenitudo est vitae. et nihil est in eo per totum aevum paternae circuitionis, neque totius neque partium, quod non vivat. mortuum enim ne unum quidem aut natum est aut est neque erit in mundo. voluit enim pater vitam ei inesse, donec constet; ideo etiam deum esse

*αὐτῷ εἶναι, ἔστ' ἂν συνέστηκε· διὸ καὶ θεὸν εἶναι ἀνάγκη.
πῶς ἂν οὖν δύναιτο, ὦ τέκνον, ἐν τῷ θεῷ, ἐν τῇ τοῦ* 16
παντὸς εἰκόνι, ἐν τῷ τῆς ζωῆς πληρώματι νεκρὰ εἶναι; ἡ γὰρ νεκρότης φθορά ἐστιν, ἡ δὲ φθορὰ ἀπώλεια. πῶς οὖν μέρος τι δύναται φθαρῆναι τοῦ ἀφθάρτου, ἢ ἀπολέσθαι τι τοῦ θεοῦ;

Τάτ. Οὐκ ἀποθνήσκει οὖν, ὦ πάτερ, τὰ ἐν αὐτῷ ζῶα, ὄντα αὐτοῦ μέρη;

Ἑρμῆς. Εὐφήμησον, ὦ τέκνον, πλανώμενος τῇ προσηγορίᾳ τοῦ γινομένου. οὐ γὰρ ἀποθνήσκει, ὦ τέκνον, ἀλλ' ὡς σύνθετα σώματα διαλύεται· ἡ δὲ διάλυσις οὐ θάνατός ἐστιν, ἀλλὰ κράματος διάλυσις· διαλύεται δέ, οὐχ ἵν' ἀπόληται, ἀλλ' ἵνα νέα γένηται. ἐπεὶ τίς τῆς ζωῆς ἐστιν ἡ ἐνέργεια; οὐχὶ κίνησις; τί οὖν ἐν τῷ κόσμῳ ἀκίνητον; οὐδέν, ὦ τέκνον.

Τάτ. Οὐδ' ἡ γῆ ἀκίνητός σοι δοκεῖ, ὦ πάτερ; 17
Ἑρμῆς. Οὔ, τέκνον, ἀλλὰ καὶ πολυκίνητος μόνη ἥδε

1. *αὐτῷ*] sic A Turn. Fluss., *αὐτὸν* Patr., *αὐτὸ* B. 5. 6. *ἀπολέσθαι*] sic B, *ἀπολέσαι* reliqui. 11. 12. *οὐ θάνατός — διάλυσις* om. Patr. errore typ. 17. *ἥδε*] *δὲ* Patr.

necesse est. quomodo potest, o fili, in deo, in patris imagine, in vitae plenitudine mortua esse? nam mors corruptio est, corruptio autem perditio. quomodo pars aliqua potest corrumpi eius, qui est incorruptibilis, aut perire aliquid dei?

Tat. Non igitur intereunt, o pater, ea quae in eo sunt animalia, cum sint eius partes?

Hermes. Bene ominare, o fili; erras in appellatione generati. non enim interit, o fili, sed ut composita corpora dissolvuntur; dissolutio autem non est mors, sed temperamenti solutio; solvuntur autem, non ut in nihilum abeant, sed ut nova fiant. sed quisnam est vitae actus? nonne motus? quid ergo in mundo immobile? nihil, o fili.

Tat. Neque terra immobilis tibi videtur, o pater?

Hermes. Non, fili, sed multimobilis et sola stabilis. quo enim

*καὶ στάσιμος. πῶς γὰρ οὐκ ἂν γελοῖον εἴη τὴν τροφὸν
πάντων ἀκίνητον εἶναι, τὴν φύουσαν καὶ γεννῶσαν τὰ
πάντα; ἀδύνατον γὰρ χωρὶς κινήσεως φύειν τι τὸν φύ-
οντα. γελοιότατον δὲ ἐπύθου, εἰ τὸ τέταρτον μέρος ἀρ-
γὸν ἔσται. οὐδὲν γὰρ ἕτερον σημαίνει τὸ ἀκίνητον σῶμα*
18 *ἢ ἀργίαν. πᾶν τοίνυν ἴσθι καθολικῶς, ὦ τέκνον, τὸ ὂν
ἐν κόσμῳ κινούμενον ἢ κατὰ μείωσιν ἢ αὔξησιν· τὸ δὲ
κινούμενον καὶ ζῇ, τὸ δὲ ζῷον πᾶν οὐκ ἀνάγκη τὸ αὐτὸ
εἶναι. ὢν γὰρ ὁμοῦ σύμπας ὁ κόσμος, ἀμετάβλητος, ὦ
τέκνον, ἐστί, τὰ δὲ μέρη αὐτοῦ πάντα μεταβλητά· οὐδὲν
δὲ φθαρτὸν ἢ ἀπολλύμενον· αἱ δὲ προσηγορίαι τοὺς ἀν-
θρώπους ταράττουσιν. οὐ γὰρ ἡ γένεσίς ἐστι ζωή, ἀλλ'
ἡ αἴσθησις· οὐδὲ ἡ μεταβολὴ θάνατος, ἀλλὰ λήθη.
τούτων τοίνυν οὕτως ἐχόντων ἀθάνατα πάντα, ἡ ὕλη, ἡ
ζωή, τὸ πνεῦμα, ὁ νοῦς, ἡ ψυχή, ἐξ ὧν πᾶν ζῷον συν-*
19 *έστηκε. πᾶν ἄρα ζῷον ἀθάνατον διὰ τὸν νοῦν, πάντων
δὲ μάλιστα ὁ ἄνθρωπος, ὁ καὶ τοῦ θεοῦ δεκτικὸς καὶ*

1. *στασίμη* B. || *γὰρ*] sic B, om. reliqui. 2. *εἶναι*] *οὖν* A. 3. *φύειν*] *φυῆναι* A, *φύσαι* B. 4. *γελοιότερον* A. 5. *σῶμα*] *ὄνομα* Patr. 9. 10. *ὦ τέκνον* om. A. 15. *ὧν*] sic Fluss., *οὗ* reliqui. 16. *διὰ τὸν νοῦν*] sic Patr., *δι' αὐτόν* reliqui. 17. *μάλιστα*] sic Patr., *μᾶλλον* reliqui.

modo non esset ridiculum, nutricem omnium immobilem esse, quae profert et gignit omnia? impossibile est enim sine motu productorem aliquid producere; ridiculam sane rem interrogasti, num quarta pars otiosa futura esset. nihil enim aliud corpus immobile significat, nisi otium. scito ergo, o fili, in universum, ens, quod in mundo fit, moveri vel per deminutionem vel per augmentum; quod vero movetur etiam vivit, omne autem animal non necesse est idem esse. nam cum simul sit universus mundus, immutabilis est, o fili, partes vero eius omnes mutabiles; nihil corruptibile est aut perit; sed appellationes perturbant homines. non enim generatio est vita, sed sensus; neque mutatio interitus est, sed occultatio. his ita se habentibus immortalia omnia, materia, vita, spiritus, mens, anima, unde omne animal est constitutum. omne ergo animal immortale per men-

τῷ θεῷ συνουσιαστικός. τούτῳ γὰρ μόνῳ τῷ ζώῳ ὁ θεὸς ὁμιλεῖ, νυκτὸς μὲν δι' ὀνείρων, ἡμέρας δὲ διὰ συμβόλων· καὶ διὰ πάντων αὐτῷ προλέγει τὰ μέλλοντα, διὰ ὀρνέων, διὰ σπλάγχνων, διὰ πνεύματος, διὰ δρυός· διὸ καὶ ἐπαγγέλλεται ὁ ἄνθρωπος ἐπίστασθαι τὰ προγεγενημένα καὶ ἐνεστῶτα καὶ μέλλοντα. κἀκεῖνο δὲ ὅρα, ὦ τέκνον, ὅτι 20
ἕκαστον τῶν ἄλλων ζώων ἑνὶ μέρει ἐπιφοιτᾷ τοῦ κόσμου, τὰ μὲν ἔνυδρα τῷ ὕδατι, τὰ δὲ χερσαῖα τῇ γῇ, τὰ δὲ μετάρσια τῷ ἀέρι· ὁ δὲ ἄνθρωπος τούτοις πᾶσι χρῆται, γῇ ὕδατι ἀέρι πυρί· ὁρᾷ δὲ καὶ οὐρανόν, ἅπτεται δὲ καὶ τούτου αἰσθήσει. ὁ δὲ θεὸς καὶ περὶ πάντα καὶ διὰ πάντων· ἐνέργεια γάρ ἐστι καὶ δύναμις, καὶ οὐδὲν δύσκολόν ἐστι νοῆσαι τὸν θεόν, ὦ τέκνον. εἰ δὲ θέλεις αὐτὸν 21
καὶ θεωρῆσαι, ἰδὲ τὴν τάξιν τοῦ κόσμου καὶ τὴν εὐκοσμίαν τῆς τάξεως, ἰδὲ τὴν ἀνάγκην τῶν φαινομένων καὶ τὴν πρόνοιαν τῶν γεγονότων τε καὶ γινομένων, ἰδὲ τὴν ὕλην πληρεστάτην οὖσαν ζωῆς, τὸν τηλικοῦτον θεὸν κι-

5. *γεγενημένα* A Patr. 7. *ἄλλων* om. AB Turn. Fluss. 8. post *μὲν* A add. *γάρ*. 12. *καὶ* ante *δύναμις* om. Turn. || post *οὐδὲν* AB add. *δὲ*. 14. 15. *ἰδὲ τὴν — τάξεως* om. Patr. 16. *τῶν* om. AB.

tem, omnium vero maxime homo, qui et deum suscipit et dei essentiae consors est. cum hoc enim solo animali deus consuetudinem habet, noctu per somnia, interdiu per symbola; et per omnia ipsi praedicit futura, per aves, per exta, per spiritum, per quercum; ideo profitetur homo scire praeterita et praesentia et futura. sed et illud vide, o fili, quod unumquodque aliorum animalium unicam mundi partem incolit, aquatilia aquam, terrestria terram, sublimia aërem; homo vero his omnibus utitur, aqua terra aëre igne; cernit etiam caelum et sensu tangit. deus vero circa omnia et per omnia; actio enim est et potentia, neque difficile est intelligere deum, o fili. si vis etiam ipsum contemplari, aspice ordinem mundi et ordinis concinnitatem, necessitatem eorum, quae apparent, et providentiam eorum, quae facta sunt et quae fiunt, aspice materiam ple-

νούμενον μετὰ πάντων ἀγαθῶν καὶ καλῶν θεῶν τε καὶ δαιμόνων καὶ ἀνθρώπων.

Τάτ. Ἀλλ' αὗται, ὦ πάτερ, ἐνέργειαι ὅλως εἰσίν.

Ἑρμῆς. Εἰ οὖν ἐνέργειαι ὅλως εἰσίν, ὦ τέκνον, ὑπὸ τίνος οὖν ἐνεργοῦνται ἀλλ' ἢ ὑπὸ θεοῦ; ἢ ἀγνοεῖς, ὅτι ὥσπερ τοῦ κόσμου μέρη εἰσὶν οὐρανὸς καὶ γῆ καὶ ὕδωρ καὶ ἀήρ, τὸν αὐτὸν τρόπον μέρη ἐστὶ θεοῦ ζωὴ καὶ ἀθανασία, ἐνέργεια καὶ πνεῦμα καὶ ἀνάγκη καὶ πρόνοια καὶ φύσις καὶ ψυχὴ καὶ νοῦς καὶ τούτων πάντων ἡ διαμονή, τὸ λεγόμενον ἀγαθόν; καὶ οὐκ ἔτι ἐστί τι τῶν γινομένων ἢ τῶν γεγονότων, ὅπου οὐκ ἔστιν ὁ θεός.

22 *Τάτ. Ἐν τῇ ὕλῃ οὖν, ὦ πάτερ;*

Ἑρμῆς. Ἡ γὰρ ὕλη, ὦ τέκνον, χωρὶς θεοῦ ἐστιν, ἵνα ἴδιον αὐτῇ ἀπομερίσῃς τόπον. τί δὲ οὖσαν ἢ σωρὸν αὐτὴν οἴει εἶναι μὴ ἐνεργουμένην; εἰ δὲ ἐνεργεῖται, ὑπὸ τίνος ἐνεργεῖται; τὰς γὰρ ἐνεργείας ἔφαμεν εἶναι μέρη

4. *Εἰ οὖν — εἰσίν*, om. A. 5. *οὖν* om. B. || *ἀλλ' ἢ ὑπὸ*] sic Patr., *ὑπὸ ἄλλου* reliqui. 6. *ὥσπερ*] *ὅπερ* AB. || *μέρη*] sic B, *μέλη* reliqui. || *εἰσὶν*] *ἐστὶν* AB. 7. *μέρη*] sic B, *μέλη* reliqui. || *θεοῦ* om. AB. 8. *ἐνέργεια*] *καὶ αἰὼν* Patr., om. AB Turn. || *πνεῦμα*] *αἷμα* AB Turn. 14. *ἵνα*] *καὶ* B. || *ἴδιον*] sic Patr., *ποιὸν* ceteri. || *ἀπομερίσεις* B. 15. *οἴει*] *ἢ* A. || *ὑπὸ*] *ἀπὸ* AB.

nissimam vitae, tantum deum moveri cum omnibus bonis et pulchris diis daemonibus hominibus.

Tat. Sed hi, o pater, actus sunt omnino.

Hermes. Si actus sunt omnino, o fili, a quonam aguntur, nisi a deo? vel ignoras, sicut mundi partes sunt caelum terra aqua aër, eodem modo partes dei sunt vita et immortalitas, actus et spiritus et necessitas et providentia et natura et anima et mens et horum omnium permansio, id quod dicitur bonum? neque est quidquam eorum, quae fiunt vel quae facta sunt, ubi non sit deus.

Tat. In materiane, o pater?

Hermes. Materia, o fili, seorsum a deo est, ut ei proprium tribuas locum. quid vero putas eam esse nisi acervum, nihil effectam? si vero efficiatur, a quo efficitur? actus enim diximus esse

*τοῦ θεοῦ. ὑπὸ τίνος οὖν ζωοποιεῖται τὰ πάντα ζῶα;
ὑπὸ τίνος ἀθανατίζεται τὰ ἀθάνατα; ὑπὸ τίνος μετα-
βάλλεται τὰ μεταβλητά; εἴτε δὲ ὕλην εἴτε σῶμα εἴτε οὐ-
σίαν φῄς, ἴσθι καὶ ταύτας αὐτὰς ἐνεργείας τοῦ θεοῦ, καὶ
ὕλης ἐνέργειαν τὴν ὑλότητα, καὶ τῶν σωμάτων ἐνέργειαν
τὴν σωματότητα, καὶ ἐνέργειαν τῆς οὐσίας τὴν οὐσιότητα·
καὶ τοῦτό ἐστιν ὁ θεός, τὸ πᾶν. ἐν δὲ τῷ παντὶ οὐδέν* 23
*ἐστιν ὃ μὴ ἔστιν ὁ θεός· ὅθεν οὔτε μέγεθος οὔτε τόπος
οὔτε ποιότης οὔτε σχῆμα οὔτε χρόνος περὶ τὸν θεόν ἐστι·
πᾶν γάρ ἐστι, τὸ δὲ πᾶν διὰ πάντων καὶ περὶ πάντα.
τοῦτον τὸν λόγον, ὦ τέκνον, προσκύνει καὶ θρήσκευε.
θρησκεία δὲ τοῦ θεοῦ μία ἐστί, μὴ εἶναι κακόν.*

4 — 6. *καὶ ὕλης — οὐσιότητα.*] sic Patr., *καὶ ὕλη ἐνεργεῖ τὴν ὑλότητα καὶ τῶν σωμάτων σωματότητα καὶ τῆς οὐσίας* (*ἡ οὐσία* A Turn. Fluss.) *τὴν οὐσιότητα* reliqui. 8. *ὁ θεός* om. AB Turn. Fluss.

partes dei. a quonam ergo vivificantur cuncta animalia? a quonam immortalitate donantur immortalia? a quonam mutantur mutabilia? sive enim materiam dixeris sive corpus sive essentiam, scias et has actus esse dei, et materiae actum materialitatem, et corporum actum corporalitatem, et essentiae actum essentialitatem; et hoc deus est, universum. et in universo nihil est, quod non sit deus; unde neque magnitudo neque locus neque qualitas neque figura neque tempus circa deum est; universum est enim, universum autem per omnia et circa omnia. hoc verbum, o fili, adora et cole. cultus autem dei unus est, malum non esse.

13 Ἑρμοῦ τοῦ τρισμεγίστου πρὸς τὸν υἱὸν Τὰτ ἐν ὄρει λόγος ἀπόκρυφος περὶ παλιγγενεσίας καὶ σιγῆς ἐπαγγελίας.

1 Τάτ. Ἐν τοῖς γενικοῖς, ὦ πάτερ, αἰνιγματωδῶς καὶ οὐ τηλαυγῶς ἔφρασας περὶ θεότητος διαλεγόμενος, καὶ οὐκ ἀπεκάλυψας, φάμενος μηδένα δύνασθαι σωθῆναι πρὸ τῆς παλιγγενεσίας· ἐμοῦ τέ σου ἱκέτου γενομένου ἐπὶ τῆς τοῦ ὄρους μεταβάσεως μετὰ τὸ σὲ ἐμοὶ διαλεχθῆναι, καὶ ποθουμένου τὸν τῆς παλιγγενεσίας λόγον μαθεῖν, ὅτι τοῦτον παρὰ πάντα μόνον ἀγνοῶ, ἔφης, ὅταν μέλλῃς κόσμου ἀπαλλοτριοῦσθαι, παραδιδόναι μοι. διὸ ἕτοιμος ἐγενόμην καὶ ἀπηλλοτρίωσα τὸ ἐν ἐμοὶ φρόνημα ἀπὸ τῆς τοῦ κόσμου ἀπάτης· σὺ δέ μοι καὶ τὰ ὑστερήματα ἀναπλήρωσον, οἷς ἔφης μοι παλιγγενεσίαν παραδοῦναι, προ-

1. τοῦ om. B. 5. καὶ om. A. 8. καὶ om. A Patr. 9. ποθουμένου] sic Patr., πυθομένου reliqui. 10. παρὰ] περὶ A. || ἔφης] sic B, καὶ ἔφης reliqui. 11. διὸ] sic B, om. reliqui. 12. ἀπενδρίωσα A, ἀπηνδρίωσα B. || ἐν] ἑνὸν A. 14. παλιγγενεσίας A.

Hermetis Trismegisti ad filium Tat in monte sermo reconditus de regeneratione et silentii professione.

Tat. In communibus, o pater, aenigmatice et non luculenter disseruisti de deitate, nec revelasti, dicens neminem servari posse ante regenerationem, cumque supplex tibi essem in montis transitu, postquam mecum es locutus, et cuperem sermonem de regeneratione discere, quoniam praeter omnes hunc solum ignoro, dixisti, quando a mundo alienus fueris, mihi tradere. quare praeparavi me et mentem meam alienam feci a mundi deceptione; tu vero mihi etiam defectus supple iis, quibus dixisti regenerationem mihi tradere, vel

θέμενος ἐκ φωνῆς ἢ κρυβήν· ἀγνοῶ, ὦ τρισμέγιστε, ἐξ οἵας ὕλης καὶ μήτρας ἄνθρωπος ἐγεννήθη, σπορᾶς δὲ ποίας.

Ἑρμῆς. Ὦ τέκνον, σοφία νοερὰ ἐν σιγῇ, καὶ ἡ σπορὰ 2
τὸ ἀληθινὸν ἀγαθόν.

Τάτ. Τίνος σπείραντος, ὦ πάτερ; τὸ γὰρ σύνολον ἀπορῶ.

Ἑρμῆς. Τοῦ θελήματος τοῦ θεοῦ, ὦ τέκνον.

Τάτ. Καὶ ποταπὸς ὁ γεννώμενος, ὦ πάτερ; ἄμοιρος ὢν τῆς ἐν ἐμοὶ οὐσίας τῆς νοητῆς, ἄλλος ἔσται ὁ γεννώμενος θεός, θεοῦ παῖς.

Ἑρμῆς. Τὸ πᾶν ἐν παντὶ ἐκ πασῶν δυνάμεων συνεστός.

Τάτ. Αἴνιγμά μοι λέγεις, ὦ πάτερ, καὶ οὐχ ὡς πατὴρ υἱῷ διαλέγῃ.

Ἑρμῆς. Τοῦτο τὸ γένος, ὦ τέκνον, οὐ διδάσκεται, ἀλλ' ὅταν θέλῃ ὑπὸ τοῦ θεοῦ ἀναμιμνήσκεται.

2. *ὕλης καὶ* om. AB Turn. Fluss. 4. personarum distinctio in sequentibus secundum Tiedemannum. 10. *ὢν*] sic B, *γὰρ* reliqui. 11. *θεός, θεοῦ*] sic Patr., *θεοῦ θεὸς* reliqui. 13. *συνεστώς* B.

voce vel clam exponens; ignoro, Trismegiste, ex quali materia et utero homo est generatus, aut a quo semine.

Hermes. O fili, sapientia intellectualis in silentio, et semen verax bonum.

Tat. Quo seminante, o pater? prorsus namque ambigo.

Hermes. Voluntate dei, o fili.

Tat. At cuias is, qui genitus est, o pater? nam expers eius essentiae, quae in me est intelligibilis, alius erit genitus deus, dei filius.

Hermes. Omne in omni ex omnibus viribus constitutum.

Tat. Aenigma mihi dicis, o pater, et non ut pater filio loqueris.

Hermes. Genus hoc, o fili, non docetur, sed a deo quando voluerit in recordationem mittitur.

3 *Τάτ. Ἀδύνατά μοι λέγεις, ὦ πάτερ, καὶ βεβιασμένα· ὅθεν πρὸς ταῦτα ὀρθῶς ἀντειπεῖν θέλω· ἀλλότριος υἱὸς πέφυκα τοῦ πατρικοῦ γένους; μὴ φθόνει μοι, πάτερ· γνήσιος υἱός εἰμι· διάφρασόν μοι τῆς παλιγγενεσίας τὸν τρόπον.*

Ἑρμῆς. Τί εἴπω, ὦ τέκνον; οὐκ ἔχω λέγειν πλὴν τοῦτο· ὁρῶ τιν' ἐν ἐμοὶ ἄπλαστον θέαν γεγενημένην· ἐξ ἐλέου θεοῦ καὶ ἐμαυτοῦ ἐξελήλυθα εἰς ἀθάνατον σῶμα· καί εἰμι νῦν οὐχ ὁ πρίν, ἀλλ' ἐγεννήθην ἐν νῷ· τὸ πρᾶγμα τοῦτο οὐ διδάσκεται οὐδὲ τῷ πλαστῷ τούτῳ στοιχείῳ, δι' οὗ ἔστιν ἰδεῖν, καὶ δι' ὃ ἠμέληταί μοι τὸ πρῶτον σύνθετον εἶδος, οὐχ ὅτι κέχρωσμαι καὶ ἀφὴν ἔχω καὶ μέτρον· ἀλλότριος τούτων εἰμὶ νῦν. ὁρᾷς με, ὦ τέκνον, ὀφθαλμοῖς, ὅτε δὴ κατανοεῖς ἀτενίζων σώματι καὶ ὁράσει· οὐκ ὀφθαλμοῖς τούτοις θεωροῦμαι νῦν, ὦ τέκνον.

7. *ὁρῶ τιν'*] sic Fluss., *ὁρῶν τι ἐν* A Turn. Patr., *ὁρῶν ἐν* B. 8. *ἐμαυτὸν* AB Turn. Patr. 10. 11. *στοιχείῳ, δι' οὗ*] *στοιχειώδει οὐκ* Fluss. 12. *κεχώρισμαι* Patr., *κεχρώισμαι* AB. 13. post *ἀλλότριος* B add. *δὲ*. 13—15. *ὁρᾷς — τέκνον*, uncis inclusit Patricius, omisit in versione Ficinus. 14. *δὴ*] *δὲ* B.

Tat. Impossibilia mihi dicis, o pater, et violenta; unde recte ad haec contradicere volo; alienus filius natus sum paterni generis? ne mihi invideas, o pater; germanus filius tibi sum; explica mihi regenerationis modum.

Hermes. Quid dicam, o fili? non habeo dicere praeter hoc: cerno in me non fictum spectaculum factum; ex miseratione dei et ex me exii in immortale corpus; et nunc sum qui non eram prius, sed natus sum in mente; res haec non docetur neque ficto hoc elemento, per quod videre licet, et propter quod neglecta mihi est prima composita forma, non quod coloratus sim et tactum habeam et mensuram; ab his enim nunc alienus sum. cernis me, o fili, oculis, quando deprehendis obnixus corpore et visu; non his oculis conspicior nunc, o fili.

Τάτ. Εἰς μανίαν με οὐκ ὀλίγην καὶ οἴστρησιν φρε- 4'
νῶν ἐνέσεισας, ὦ πάτερ· ἐμαυτὸν γὰρ νῦν οὐχ ὁρῶ.

Ἑρμῆς. Εἴθε, ὦ τέκνον, καὶ σὺ σεαυτὸν διεξελή-
λυθας, ὡς οἱ ἐν ὕπνῳ ὀνειροπολούμενοι χωρὶς ὕπνου.

Τάτ. Λέγε μοι καὶ τοῦτο· τίς ἐστι γενεσιουργὸς τῆς
παλιγγενεσίας;

Ἑρμῆς. Ὁ τοῦ θεοῦ παῖς, ἄνθρωπος εἷς, θελήματι
θεοῦ.

Τάτ. Νῦν τὸ λοιπόν, ὦ πάτερ, εἰς ἀφασίαν με ἤνεγ- 5
κας, τῶν πρὶν ἀπολειφθέντα φρενῶν· τὸ γὰρ μέγεθος
βλέπω τὸ σὸν τὸ αὐτό, ὦ πάτερ, σὺν τῷ χαρακτῆρι.

Ἑρμῆς. Καὶ ἐν τούτῳ ψεύδῃ· τὸ γὰρ θνητῶν εἶδος
καθ' ἡμέραν ἀλλάσσεται· χρόνῳ γὰρ τρέπεται εἰς αὔξη-
σιν καὶ μείωσιν ὡς ψεῦδος.

Τάτ. Τί οὖν ἀληθές ἐστιν, ὦ τρισμέγιστε; 6

Ἑρμῆς. Τὸ μὴ θολούμενον, ὦ τέκνον, τὸ μὴ διο-

10. post πρὶν A Turn. Fluss. Patr. ponunt γὰρ et omittunt infra. || ἀπολειφθέντα] sic B, ἀπολειφθῇς Patr., ἀπολειφθεὶς reliqui. 11. τὸ σὸν om. A. || τὸ αὐτό] sic B, τῶν κάτω Patr., τὸ σὺν αὐτῷ reliqui, et σὺν infra omittunt. 12. ψεύδῃ] sic B, ψευδῆ Patr., ψεύδει reliqui.

Tat. In furorem me non parvum et oestrum animi iniecisti, o pater; me ipsum enim nunc non cerno.

Hermes. Utinam, o fili, tu quoque te ipsum transcurrisses instar eorum, qui in somno somniant sine somno.

Tat. Dic mihi et hoc: quisnam generator regenerationis est?

Hermes. Dei filius, homo unus, voluntate dei.

Tat. Nunc reliquum, o pater, in silentium me reiecisti, a prioribus cogitationibus relictum; magnitudinem tuam ipsam cerno, o pater, cum charactere.

Hermes. Et in eo falleris; mortalium namque forma in dies mutatur; tempore enim vertitur in augmentum et deminutionem utpote falsa.

Tat. Quid ergo verum est, o Trismegiste?

Hermes. Quod non turbatur, o fili, quod non terminatur inco-

ριζόμενον τὸ ἀχρώματον τὸ ἀσχημάτιστον τὸ ἄτρεπτον τὸ γυμνὸν τὸ φαῖνον τὸ αὑτῷ καταληπτὸν τὸ ἀναλλοίωτον τὸ ἀγαθὸν τὸ ἀσώματον.

Τάτ. *Μέμηνα ὄντως, ὦ πάτερ. δοκοῦντος γάρ μου ὑπὸ σοῦ σοφοῦ γεγονέναι, ἐνεφράχθησαν αἱ αἰσθήσεις τούτου μου τοῦ νοήματος.*

Ἑρμῆς. *Οὕτως ἔχει, ὦ τέκνον. τὸ μὲν ἀνωφερὲς ὡς πῦρ, τὸ δὲ κατωφερὲς ὡς γῆ, καὶ ὑγρὸν ὡς ὕδωρ, καὶ σύμπνοον ὡς ἀήρ· πῶς αἰσθητῶς αὐτὸ νοήσεις, τὸ μὴ σκληρὸν τὸ μὴ ὑγρὸν τὸ ἀσφίγγωτον τὸ μὴ διαλυόμενον τὸ μόνον δυνάμει καὶ ἐνεργείᾳ νοούμενον; δέῃ μόνου δὲ νοῦ δυναμένου νοεῖν τὴν ἐν θεῷ γένεσιν.*

7 *Τάτ.* *Ἀδύνατος οὖν εἰμι, ὦ πάτερ.*

Ἑρμῆς. *Μὴ γένοιτο, ὦ τέκνον· ἐπίσπασαι εἰς σεαυτὸν καὶ ἐλεύσεται, θέλησον καὶ γίνεται, κατάργησον τοῦ σώματος τὰς αἰσθήσεις καὶ ἔσται ἡ γένεσις τῆς θεότητος, κάθαραι σεαυτὸν ἀπὸ τῶν ἀλόγων τῆς ὕλης τιμωρῶν.*

3. *τὸ ἀγαθὸν* om. Patr. 6. *μου τούτου* Fluss. 8. *τὸ δὲ*] *καὶ* A. 10. *ἄσφιγκτον* B. || *διαδυομένου* AB Turn. 11. 12. *δέῃ μόνου δὲ νοῦ*] sic Fluss., *δεόμενον δὲ τοῦ* libri. 14. 15. *ἑαυτὸν* libri. 15. *κατάρτησον* A. 16. *καὶ ἔσται ἡ γένεσις τῆς θεότητος* om. Patr. 17. *κάθαιρε* A. || *τιμωριῶν* AB.

lorum infiguratum immutabile nudum splendens quod sibi est comprehensibile inalterabile bonum incorporeum.

Tat. Vere in furorem agor, o pater. nam cum viderer a te sapiens effectus, obstructi sunt sensus mei hac cogitatione.

Hermes. Ita se habet, o fili. pars sursum fertur ut ignis, pars deorsum vergit ut terra, et humidum ut aqua, et perflabile ut aër; quanam arte id sensu percipies, quod nec durum, nec humidum, nec constrictum, nec solutum, quod sola potentia et actu intelligitur? indigus es mente, quae sola potest intelligere generationem in deo.

Tat. Impotens ergo sum, o pater.

Hermes. Ne id fiat, o fili; attrahe ad te ipsum et veniet, velis et fiet, otiosos redde corporis sensus et erit generatio deitatis, purga te ipsum a brutis materiae vindicibus.

Τάτ. Τιμωροὺς ἄρα ἐν ἐμαυτῷ ἔχω, ὦ πάτερ;

Ἑρμῆς. Οὐκ ὀλίγους, ὦ τέκνον, ἀλλὰ καὶ φοβεροὺς καὶ πολλούς.

Τάτ. Ἀγνοῶ, ὦ πάτερ.

Ἑρμῆς. Μία αὕτη, ὦ τέκνον, τιμωρία ἡ ἄγνοια, δευτέρα δὲ λύπη, τρίτη ἀκρασία, τετάρτη ἐπιθυμία, πέμπτη ἀδικία, ἕκτη πλεονεξία, ἑβδόμη ἀπάτη, ὀγδόη φθόνος, ἐννάτη δόλος, δεκάτη ὀργή, ἑνδεκάτη προπέτεια, δωδεκάτη κακία· εἰσὶ δὲ αὗται τὸν ἀριθμὸν δώδεκα, ὑπὸ δὲ ταύταις πλείονες ἄλλαι, ὦ τέκνον· διά τε τοῦ δεσμωτηρίου τοῦ σώματος αἰσθητικῶς πάσχειν ἀναγκάζουσι τὸν ἐνδιάθετον ἄνθρωπον. ἀφίστανται δὲ αὗται οὐκ ἀθρόως 8
ἀπὸ τοῦ ἐλεηθέντος ὑπὸ τοῦ θεοῦ, καὶ οὕτω συνίσταται ὁ τῆς παλιγγενεσίας τρόπος καὶ λόγος. λοιπὸν σιώπησον, ὦ τέκνον, καὶ εὐφήμησον· καὶ διὰ τοῦτο οὐ καταπαύσει τὸ ἔλεος εἰς ἡμᾶς ἀπὸ τοῦ θεοῦ. χαῖρε λοιπόν, ὦ τέκνον, ἀνακαθαιρόμενος ταῖς τοῦ θεοῦ δυνάμεσιν εἰς συνάρθρωσιν τοῦ λόγου. ἦλθεν ἡμῖν γνῶσις τοῦ θεοῦ· ταύτης δὲ

1. ἄρα] γὰρ libri. || ἐμαυτῷ] sic B, ἑαυτῷ reliqui. 6. δὲ om. AB. 8. ἐνάτη B. 10. τε τοῦ] sic Tied., τοῦ B Patr., τοῦτο reliqui. 11. τοῦ om. B. 13. τοῦ ante θεοῦ om. A. 15. καταπαύσω A. 18. τῶν λόγων corr. A.

Tat. Num vindices in me ipso habeo, o pater?

Hermes. Non paucos, o fili, sed et formidabiles et multos.

Tat. Ignoro, o pater.

Hermes. Haec una, o fili, ultrix ignorantia est, secunda dolor, tertia intemperantia, quarta concupiscentia, quinta iniustitia, sexta avaritia, septima deceptio, octava invidia, nona dolus, decima ira, undecima temeritas, duodecima malitia; sunt vero hae numero duodecim, sub his vero plures aliae, o fili; per corporis carcerem sensibiliter pati cogunt internum hominem. discedunt vero hae non illico ab eo, cuius miserescit deus, atque ita conficitur regeneratio. nis et modus et ratio. ceterum, o fili, sile ac bene ominare; ob hoc non aberit a nobis dei misericordia. laetare itaque, o fili, pur-

ἐλθούσης, ὦ τέκνον, ἐξηλάθη ἡ ἄγνοια. ἦλθεν ἡμῖν
γνῶσις χαρᾶς· παραγενομένης ταύτης, ὦ τέκνον, ἡ
9 *λύπη φεύξεται εἰς τοὺς χωροῦντας αὐτήν. δύναμιν*
καλῶ ἐπὶ χαρᾷ τὴν ἐγκράτειαν. ὦ δύναμις ἡδίστη·
προσλάβωμεν αὐτήν, ὦ τέκνον, ἀσμενέστατα. πῶς
ἅμα τῷ παραγενέσθαι ἀπώσατο τὴν ἀκρασίαν· τετάρ-
την δὲ νῦν καλῶ καρτερίαν τὴν κατὰ τῆς ἐπιθυμίας
δύναμιν. ὁ βαθμὸς οὗτος, ὦ τέκνον, δικαιοσύνης ἐστὶν
ἕδρασμα. χωρὶς γὰρ κτίσεως ἰδέ, πῶς τὴν ἀδικίαν
ἐξήλασεν. ἐδικαιώθημεν, ὦ τέκνον, ἀδικίας ἀπούσης.
ἕκτην δύναμιν καλῶ εἰς ἡμᾶς ἐλθοῦσαν τὴν κατὰ τῆς
πλεονεξίας, κοινωνίαν. ἀποστάσης δὲ ἔτι καλῶ τὴν
ἀλήθειαν· καὶ φεύγει ἡ ἀπάτη, ἀλήθεια δὲ παραγίνεται.
ἰδέ, πῶς τὸ ἀγαθὸν πεπλήρωται, ὦ τέκνον, παραγινομέ-
νης τῆς ἀληθείας. φθόνος γὰρ ἀφ' ἡμῶν ἀπέστη, τῇ
δὲ ἀληθείᾳ καὶ τὸ ἀγαθὸν ἐπεγένετο ἅμα ζωῇ καὶ φωτί,

4. *καλῶ τὴν χωροῦσαν ἐπὶ τὴν ἐγκράτειαν, ἧς δύναμις* Vergic. || *χαρὰν* A. 9. *κτήσεως* Patr., an *κρίσεως*? 11. *ἐλθοῦσαν* om. AB Turn. Fluss. 12. *ἔτι*] an *ἐκείνης*? 13. *καὶ* om. A. || *ἡ* add. B. || *δὲ* add. B.

gatus dei viribus ad dearticulationem sermonis. venit nobis cognitio dei; hac vero accedente, o fili, eiecta est ignorantia. venit nobis cognitio gaudii; hac autem adveniente, o fili, moeror fugiet in eos, qui eius sunt capaces. potentiam voco ad gaudium temperantiam. o virtus suavissima; assumamus eam, o fili, alacriter. ut eius adventu expulit intemperantiam; quartam nunc voco continentiam, virtutem concupiscentiae adversam. gradus hic, o fili, iustitiae est sedes. aspice, quomodo nulla contentione iniustitiam expulerit. iustificati sumus, o fili, iniustitia absente. sextam virtutem voco ad nos venientem, quae contra avaritiam est, communicationem. ea recedente adhuc voco veritatem; et fugit error et veritas advenit. vide, ut bonum adimpletum sit, o fili, accessu veritatis. invidia namque a nobis recessit, cum veritate vero etiam bonum affuit

καὶ οὐκ ἔτι ἐπῆλθεν οὐδεμία τοῦ σκότους τιμωρία, ἀλλ'
ἐξέπτησαν νικηθεῖσαι ῥοίζῳ. ἔγνωκας, ὦ τέκνον, τῆς πα- 10
λιγγενεσίας τὸν τρόπον. τῆς δεκάδος παραγινομένης, ὦ
τέκνον, συνετέθη νοερὰ γένεσις, καὶ τὴν δωδεκάτην ἐξε-
λαύνει, καὶ ἐθεωρήθημεν τῇ γενέσει. ὅστις οὖν ἔτυχε
κατὰ τὸ ἔλεος τῆς κατὰ θεὸν γενέσεως, τὴν σωματικὴν
αἴσθησιν καταλιπών, ἑαυτὸν γνωρίζει ἐκ θείων συνιστά-
μενον, καὶ εὐφραίνεται·

Τάτ. Ἀκλινὴς γενόμενος ὑπὸ τοῦ θεοῦ, ὦ πάτερ, 11
φαντάζομαι οὐχ ὁράσει ὀφθαλμῶν, ἀλλὰ τῇ διὰ δυνά-
μεων νοητικῇ ἐνεργείᾳ· ἐν οὐρανῷ εἰμι, ἐν γῇ, ἐν ὕδατι,
ἐν ἀέρι· ἐν ζώοις εἰμί, ἐν φυτοῖς, ἐν γαστρί, πρὸ γαστρός,
μετὰ γαστέρα, πανταχοῦ. ἀλλ' ἔτι τοῦτό μοι εἰπέ, πῶς
αἱ τιμωρίαι τοῦ σκότους οὖσαι ἀριθμῷ δώδεκα ὑπὸ δέκα
δυνάμεων ἀπωθοῦνται; τίς ὁ τρόπος, ὦ τρισμέγιστε;

Ἑρμῆς. Τὸ σκῆνος τοῦτο, ὦ τέκνον, ὃ διεξεληλύθα- 12
μεν, ἐκ τοῦ ζωοφόρου κύκλου συνέστη, καὶ τούτου συν-

4. *δωδεκάτην*] an *δωδεκάδα*? 7. *θείων*] sic Patr., *τούτων* reliqui. 7. 8. *συνιστάμενος* AB Turn. Fluss. 11. ante *ἐν οὐρανῷ* Tied. add. *ὅτι*. 16. 17. *ὃ διεξεληλύθαμεν* om. Patr. 17. *ζωοφόρου*] sic B, *ζωηφόρου* reliqui.

simul cum vita et lumine, nec amplius supervenit ulla tenebrarum ultrix, sed victae recesserunt impetu. cognosti, o fili, regenerationis modum. decadis accessu, o fili, composita est intellectualis generatio, et duodecimam expellit, et contemplatores generatione sumus effecti. quisquis ergo per misericordiam adeptus est generationem secundum deum, corporeum sensum relinquens, se ipsum cognoscit ex divinis constitutum, et laetatur.

Tat. Stabilis a deo factus, o pater, concipio non visione oculorum sed virtutum intelligibili actu. in caelo sum, in terra, in mari, in aëre; in animalibus sum, in stirpibus, in utero, ante uterum, post uterum, ubique. sed adhuc hoc mihi dicas, quomodo ultrices tenebrarum, cum numero sint duodecim, a decem viribus expellantur? quis hic modus, o Trismegiste?

Hermes. Tabernaculum hoc, o fili, quod pertransivimus, e zo-

εστῶτος ἐκ ζωδίων, δώδεκα ὄντων τὸν ἀριθμόν, φύσεως μὲν μιᾶς, παντομόρφου δὲ ἰδέας. εἰς πλάνην τοῦ ἀνθρώπου διαζυγαὶ ἐν αὐταῖς εἰσιν, ὦ τέκνον, ἡνωμέναι ἐν τῇ πράξει. ἀχώριστός ἐστιν ἡ προπέτεια τῆς ὀργῆς, εἰσὶ δὲ καὶ ἀδιόριστοι. εἰκότως οὖν κατὰ τὸν ὀρθὸν λόγον τὴν ἀπόστασιν ποιοῦνται, καθὼς καὶ ἀπὸ δέκα δυνάμεων ἐλαυνόμεναι, τουτέστιν ἀπὸ τῆς δεκάδος. ἡ γὰρ δεκάς, ὦ τέκνον, ἐστὶ ψυχογόνος. ζωὴ δὲ καὶ φῶς ἡνωμέναι ἐκεῖ εἰσιν, ἔνθα ὁ τῆς ἑνάδος ἀριθμὸς πέφυκε τοῦ πνεύματος. ἡ ἑνὰς οὖν κατὰ λόγον τὴν δεκάδα ἔχει, ἡ δὲ δεκὰς τὴν ἑνάδα.

13 *Τάτ. Πάτερ, τὸ πᾶν ὁρῶ καὶ ἐμαυτὸν ἐν τῷ νοΐ.*

Ἑρμῆς. Αὕτη ἐστὶν ἡ παλιγγενεσία, ὦ τέκνον, τὸ μηκέτι φαντάζεσθαι εἰς τὸ σῶμα τὸ τριχῇ διαστατόν, διὰ τὸν λόγον τοῦτον τὸν περὶ τῆς παλιγγενεσίας, εἰς ὃν ὑπεμνηματισάμην, ἵνα μὴ ὦμεν διάβολοι τοῦ παντὸς εἰς τοὺς πολλούς, εἰς οὓς αὐτὸς οὐ θέλει θεός.

1. ζωδίων] sic marg. B, ἀριθμῶν reliqui. || post ὄντων Patr. add. ἕνδεκα. 2. μὲν et δὲ add. B. 5. ἀδιόριστοι] sic AB Verg. Patr., ἀόριστοι Turn. Fluss. 9. ἐκεῖ] sic Patr., om. reliqui. 17. εἰς οὓς αὐτὸς οὐ θέλει θεός] sic Fluss., εἰς οὓς ὁ θεὸς αὐτὸς θέλει AB Patr., εἰς οὓς αὐτοὺς θέλει ὁ θεός Turn.

diaco circulo est constitutum, qui constat ex imaginibus duodecim numero, naturae unius, omniformis vero ideae. ad errorem hominis distinctiones in ipsis sunt, o fili, unitae in operatione. inseparabilis est temeritas ab ira, sunt autem etiam interminatae. iure itaque secundum rectam rationem discessum faciunt, utpote a decem virtutibus propulsatae, hoc est a decade. decas, o fili, est animae genitrix. vita et lux unitae ibi sunt, ubi unitatis numerus natus est a spiritu. unitas ergo secundum rationem decadem habet, decas vero unitatem.

Tat. Pater, universum conspicio et me ipsum in mente.

Hermes. Haec est regeneratio, o fili, ut non amplius imaginationem figas in corpus trine dimensum, ob sermonem hunc de regeneratione, quem commentario comprehendi, ne calumniatores universi simus in vulgus, ad quos ipse deus haec non vult prodire.

Τάτ. *Εἰπέ μοι, ὦ πάτερ, τὸ σῶμα τοῦτο τὸ ἐκ δυ-* 14
νάμεων συνεστὸς λύσιν ἔχει ποτέ;

Ἑρμῆς. *Εὐφήμησον καὶ μὴ ἀδύνατα φθέγγου, ἐπεὶ ἁμαρτήσεις καὶ ἀσεβηθήσεταί σου ὁ ὀφθαλμὸς τοῦ νοῦ. τὸ αἰσθητὸν τῆς φύσεως σῶμα πόρρωθέν ἐστι τῆς οὐσιώδους γενέσεως. τὸ μὲν γάρ ἐστι διαλυτόν, τὸ δὲ ἀδιάλυτον, καὶ τὸ μὲν θνητόν, τὸ δὲ ἀθάνατον. ἀγνοεῖς, ὅτι θεὸς πέφυκας καὶ τοῦ ἑνὸς παῖς, ὃ κἀγώ;*

Τάτ. *Ἐβουλόμην, ὦ πάτερ, τὴν διὰ τοῦ ὕμνου εὐ-* 15
λογίαν, ἣν ἔφης ἐπὶ τὴν ὀγδοάδα γενομένου μου ἀκοῦσαι τῶν δυνάμεων.

Ἑρμῆς. *Καθὼς ὀγδοάδα ὁ Ποιμάνδρης ἐθέσπισε, τέκνον, καλῶς σπεύδεις λῦσαι τὸ σκῆνος, κεκαθαρμένος γάρ. ὁ Ποιμάνδρης, ὁ τῆς αὐθεντίας νοῦς, πλέον μοι τῶν ἐγγεγραμμένων οὐ παρέδωκεν, εἰδὼς ὅτι ἀπ' ἐμαυτοῦ δυνήσομαι πάντα νοεῖν καὶ ἀκούειν ὧν βούλομαι καὶ ὁρᾶν*

1. *τὸ* ante *σῶμα* om. Turn. Fluss. || *τὸ* ante *ἐκ* om. AB. 1. 2. *δυνάμεως συνεστὼς* B. 2. *ἴσχει* B. 4. *ὁ* om. Turn. Fluss. 9. 10. *εὐλογίαν*] *ἀναλογίαν* AB. 16. et pag. 124 v. 1. *καὶ ἀκούειν — πάντα* uncis incl. Patr.

Tat. Dic mihi, o pater, corpus hoc ex potentiis constitutum solutionem habebit unquam?

Hermes. Bene ominare, neve impossibilia loquaris, nam peccabis et impius evadet mentis tuae oculus. sensibile naturae corpus procul est ab essentiali generatione. nam illud quidem est dissolubile, hoc vero indissolubile, illud mortale, hoc immortale. ignoras, quod deus natus sis et unius filius, quod et ego?

Tat. Vellem, o pater, per hymnum laudem, quam dixisti cum ad octonarium venissem audire potentiarum.

Hermes. Sicuti octonario vaticinatus est Poemander, o fili, recte festinas solvere habitaculum, nempe purificatus. Poemander, auctoris qui per se est mens, non plura mihi quam scripta sunt tradidit, sciens quod a me ipso potero omnia intelligere, et audire

τὰ πάντα· καὶ ἐπέτρεψέ μοι ἐκεῖνος ποιεῖν τὰ καλά. διὸ καὶ πᾶσαι αἱ δυνάμεις αἱ ἐν ἐμοὶ ᾄδουσι.

16 *Τάτ. Θέλω, πάτερ, ἀκοῦσαι καὶ βούλομαι ταῦτα νοῆσαι.*

Ἑρμῆς. Ἡσύχασον, ὦ τέκνον, καὶ τῆς ἁρμοζούσης νῦν ἄκουε εὐλογίας, τὸν ὕμνον τῆς παλιγγενεσίας, ὃν οὐκ ἔκρινα οὕτως ἐκφάναι εὐκόλως, εἰ μή σοι ἐπὶ τέλει τοῦ παντός· ὅθεν τοῦτο οὐ διδάσκεται, ἀλλὰ κρύπτεται ἐν σιγῇ. οὕτως οὖν, ὦ τέκνον, στὰς ἐν ὑπαίθρῳ τόπῳ, πρὸς νότον ἄνεμον ἀποβλέπων περὶ καταφορὰν τοῦ ἡλίου δύνοντος προσκύνει, ὁμοίως καὶ ἀνιόντος πρὸς ἀπηλιώτην. ἡσύχασον οὖν, ὦ τέκνον.

Ὑμνῳδία κρυπτή.

17 *Πᾶσα φύσις κόσμου προσδεχέσθω τοῦ ὕμνου τὴν ἀκοήν. ἀνοίγηθι γῆ, ἀνοιγήτω μοι πᾶς μοχλὸς ὄμβρου,*

2. *πᾶσαι*] sic Patr., *ἐν πᾶσιν* B, *ἐν πᾶσιν καὶ* reliqui. 7. *κέκρικα* Patr. || *εὐκόλως ἐκφάναι* AB. 9. 10. *πρὸς νότον ἄνεμον*] sic marg. B Patr., *νότῳ ἀνέμῳ* reliqui. 10. *ἀποβλέπων* om. A. 12. *οὖν* om. AB. 13. *Ὑμνῳδία κρυπτή.*] *ιδ'* marg. B. 15. *μοχλὸς*] *μυχὸς* B.

quae volo, et videre omnia; et iussit me ille facere bona. ideo omnes quae in me sunt potentiae canunt.

Tat. Volo, pater, audire et volo haec intelligere.

Hermes. Quiesce, o fili, et convenientem nunc audi laudem, hymnum regenerationis, quem tam facile enuntiare non censui, nisi tibi in fine totius; unde hoc non docetur, sed absconditur in silentio. ita ergo, o fili, stans sub dio ad austrum ventum respiciens circa solis occasum adora, similiter redeunte sole ad subsolanum. quiesce igitur, o fili.

Cantio arcana.

Omnis mundi natura excipiat hymni auditionem. aperiare terra, aperiatur mihi omnis vectis pluviae, arbores ne tremite. celebra-

τὰ δένδρα μὴ σείεσθε. ὑμνεῖν μέλλω τὸν τῆς κτίσεως κύριον καὶ τὸ πᾶν καὶ τὸ ἕν. ἀνοίγητε οὐρανοί, ἄνεμοί τε στῆτε, ὁ κύκλος ὁ ἀθάνατος τοῦ θεοῦ προσδεξάσθω μου τὸν λόγον. μέλλω γὰρ ὑμνεῖν τὸν κτίσαντα τὰ πάντα, τὸν πήξαντα τὴν γῆν, καὶ οὐρανὸν κρεμάσαντα, καὶ ἐπιτάξαντα ἐκ τοῦ ὠκεανοῦ τὸ γλυκὺ ὕδωρ εἰς τὴν οἰκουμένην καὶ ἀοίκητον ὑπάρχειν εἰς διατροφὴν καὶ χρῆσιν πάντων ἀνθρώπων· τὸν ἐπιτάξαντα πῦρ φανῆναι εἰς πᾶσαν πρᾶξιν θεοῖς τε καὶ ἀνθρώποις. δῶμεν πάντες ὁμοῦ αὐτῷ τὴν εὐλογίαν τῷ ἐπὶ τῶν οὐρανῶν μετεώρῳ, τῷ πάσης φύσεως κτίστῃ. οὗτός ἐστιν ὁ τοῦ νοῦ ὀφθαλμός, καὶ δέξαιτο τῶν δυνάμεών μου τὴν εὐλογίαν. αἱ δυνά- 18
μεις αἱ ἐν ἐμοὶ ὑμνεῖτε τὸ ἓν καὶ τὸ πᾶν, συνᾴσατε τῷ θελήματί μου πᾶσαι αἱ ἐν ἐμοὶ δυνάμεις. γνῶσις ἁγία, φωτισθεὶς ἀπὸ σοῦ, διὰ σοῦ τὸ νοητὸν φῶς ὑμνῶν, χαίρω ἐν χαρᾷ νοῦ. πᾶσαι δυνάμεις ὑμνεῖτε σὺν ἐμοί, καὶ σύ μοι ἐγκράτεια ὕμνει, δικαιοσύνη μου τὸ δίκαιον ὕμνει δι' ἐμοῦ, κοινωνία ἡ ἐμὴ τὸ πᾶν ὕμνει, δι' ἐμοῦ ὕμνει ἀλή-

7. χρῆσιν] sic B, κτίσιν A Verg. Patr., κτῆσιν Turn. Fluss.
12. δέξεται Patr. || μου om. A. 15. διὰ σοῦ om. Patr.
18. ἐμὴ] sic AB Patr., ἐν ἐμοὶ Fluss., ἐμοὶ Turn.

turus sum hymno creationis dominum et universum et unum. aperiamini caeli, venti sistimini, circulus immortalis dei suscipiat sermonem meum. sum enim celebraturus eum qui condidit omnia, qui terram fixit et caelum suspendit, et iussit ex oceano dulcem aquam in orbem terrae habitabilis et inhabitabilis exire ad nutritionem et usum omnium hominum; qui iussit ignem lucere ad omnem actionem diis atque hominibus. demus omnes simul ipsi laudem, qui super caelos est sublimis, qui totius naturae est conditor. iste est mentis oculus, et suscipiat potentiarum mearum laudem. potentiae, quae in me estis, laudate unum et universum, concinite voluntati meae omnes, quae in me estis potentiae. cognitio sancta, illuminatus a te, per te intelligibile lumen laudans, laetor in mentis gaudio. omnes potentiae laudate mecum, et tu mea continentia celebra, iustitia mea iustum cane per me, communio mea universum celebra, per

θεια τὴν ἀλήθειαν, τὸ ἀγαθὸν ἀγαθὸν ὕμνει. ζωὴ καὶ
φῶς, ἀφ' ἡμῶν εἰς ὑμᾶς χωρεῖ ἡ εὐλογία. εὐχαριστῶ σοι,
πάτερ, ἐνέργεια τῶν δυνάμεων, εὐχαριστῶ σοι, θεέ, δύνα-
μις τῶν ἐνεργειῶν μου. ὁ σὸς λόγος δι' ἐμοῦ ὑμνεῖ σε,
19 δι' ἐμοῦ δέξαι τὸ πᾶν λόγῳ, λογικὴν θυσίαν. ταῦτα βοῶ-
σιν αἱ δυνάμεις αἱ ἐν ἐμοί. σὲ τὸ πᾶν ὑμνοῦσι, τὸ σὸν
θέλημα τελοῦσιν. ἡ σὴ βουλὴ ἀπὸ σοῦ, ἐπὶ σὲ τὸ πᾶν.
δέξαι ἀπὸ πάντων λογικὴν θυσίαν. τὸ πᾶν τὸ ἐν ἡμῖν
σῶζε ζωή, φώτιζε φῶς, πνεῦμα θεέ. λόγον γὰρ τὸν σὸν
20 ποιμαίνει ὁ νοῦς, πνευματοφόρε δημιουργέ. σὺ εἶ ὁ
θεός, ὁ σὸς ἄνθρωπος ταῦτα βοᾷ διὰ πυρός, δι' ἀέ-
ρος, διὰ γῆς, διὰ ὕδατος, διὰ πνεύματος, διὰ τῶν κτι-
σμάτων σου. ἀπὸ σοῦ αἰῶνος εὐλογίαν εὗρον· καὶ ὃ
ζητῶ, βουλῇ τῇ σῇ ἀναπέπαυμαι. εἶδον θελήματι τῷ σῷ
τὴν εὐλογίαν ταύτην λεγομένην.

Τάτ. Ὦ πάτερ, τέθεικά σε ἐν κόσμῳ τῷ ἐμῷ.

Ἑρμῆς. Ἐν τῷ νοητῷ λέγε, τέκνον.

6. σὲ] sic Fluss., om. reliqui. 7. ἡ om. AB Patr. 8. ὑμῖν Patr. 13. ἀπὸ σοῦ] ἀπὸ τοῦ Patr. 15. ταύτην] τὴν marg. B. 16. σε] sic B, καὶ reliqui.

me cane veritas veritatem, bonum cane bonum. o vita, o lux, a nobis in vos transit celebratio. gratias tibi ago, o pater, actus potentiarum, gratias habeo tibi, deus, potentia actionum mearum. tuum verbum per me laudat te, per me universum suscipe sermone, verbale sacrificium. haec vociferantur potentiae quae in me sunt. te universum laudant, tuam voluntatem peragunt. tuum consilium a te, ad te universum. suscipe ab omnibus verbale sacrificium. universum, quod in nobis, serva vita, illustra lux, spiritus deus. verbum enim tuum pascit mens, spiritifer conditor. tu es deus, tuus homo haec clamat per ignem, per aërem, per terram, per aquam, per spiritum, per opificia tua. ab aeone tuo laudem inveni; et quod quaero, tuo consilio acquiesco. scio voluntate tua laudem hanc dici.

Tat. O pater, reposui te in mundo meo.

Hermes. In intelligibili dic, fili.

Τάτ. Ἐν τῷ νοητῷ, ὦ πάτερ, δύναμαι· ἐκ τοῦ σοῦ ὕμνου καὶ τῆς σῆς εὐλογίας ἐπιπεφώτισταί μου ὁ νοῦς. πλέον θέλω κἀγὼ πέμψαι ἐξ ἰδίας φρενὸς εὐλογίαν τῷ θεῷ.

Ἑρμῆς. Ὦ τέκνον, μὴ ἀσκόπως. 21

Τάτ. Ἐν τῷ νῷ, ὦ πάτερ. ἃ θεωρῶ λέγω σοι, γενάρχα τῆς γενεσιουργίας, Τάτ· θεῷ πέμπω λογικὰς θυσίας. θεὲ, σὺ πάτερ, σὺ ὁ κύριος, σὺ ὁ νοῦς· δέξαι λογικὰς θυσίας ἃς θέλεις ἀπ᾽ ἐμοῦ· σοῦ γὰρ βουλομένου πάντα τελεῖται.

Ἑρμῆς. Σύ, ὦ τέκνον, πέμψον δεκτὴν θυσίαν τῷ πάντων πατρὶ θεῷ. ἀλλὰ καὶ πρόσθες, ὦ τέκνον, διὰ τοῦ λόγου.

Τάτ. Εὐχαριστῶ σοι, πάτερ, ταῦτά μοι αἰνεῖν εὐξαμένῳ.

Ἑρμῆς. Χαίρω, τέκνον, καρποφορήσαντος ἐκ τῆς 22
ἀληθείας τὰ ἀγαθὰ, τὰ ἀθάνατα γεννήματα. τοῦτο μαθὼν παρ᾽ ἐμοῦ τῆς ἀρετῆς σιγὴν ἐπάγγειλαι, μηδενί, τέ-

2. ἐπεὶ πεφώτισται B. 3. πλέον] πλὴν Turn. 9. θυσίας] sic Patr., om. reliqui. 18. ἐπάγγειλαι] sic Fluss., ἐπήγγειλε (corr. ἐπάγγειλον) B, ἐπάγγειλε reliqui.

Tat. In intelligibili, o pater, potens sum; ex tuo hymno et tua laude illuminata est mens mea. amplius volo et ego emittere ex propria cogitatione laudem deo.

Hermes. O fili, non incaute.

Tat. In mente, o pater. quae cerno dico tibi, o genarcha generationis, ego Tat. deo mitto verbalia sacrificia. deus, tu pater, tu dominus, tu mens; suscipe verbalia sacrificia quae vis a me; te enim volente omnia peraguntur.

Hermes. Tu, o fili, mitte susceptibile sacrificium omnium patri deo. sed et adde, o fili, per sermonem.

Tat. Gratias tibi, pater, habeo, qui ut haec praedicem es precatus.

Hermes. Laetor, fili, fructum te cepisse ex veritate bona, im-

κνον, ἐκφαίνων τῆς παλιγγενεσίας τὴν παράδοσιν, ἵνα μὴ ὡς διάβολοι λογισθῶμεν. ἱκανῶς γὰρ ἕκαστος ἡμῶν ἐπεμελήθη, ἐγώ τε ὁ λέγων σύ τε ὁ ἀκούων. νοερῶς ἔγνως σεαυτὸν καὶ τὸν πατέρα τὸν ἡμέτερον.

mortalia genimina. hoc discens a me virtutis silentium indicito, nemini, fili, revelans regenerationis traditionem, ne velut calumniatores habeamur. sufficienter namque quisque nostrum est meditatus, ego quidem loquens tu vero audiens. intellectualiter cognosti te ipsum et patrem nostrum.

---

14 *Ἑρμοῦ τοῦ τρισμεγίστου.*

Ἀσκληπιῷ εὖ φρονεῖν.

1 *Ἐπεὶ ὁ υἱός μου Τὰτ ἀπόντος σου τὴν τῶν ὄντων ἠθέλησε φύσιν μαθεῖν, ὑπερθέσθαι δέ μοι οὐκ ἐπέτρεπεν ὡς υἱὸς καὶ νεώτερος, ἄρτι παρελθὼν ἐπὶ τὴν γνῶσιν τῶν περὶ ἑνὸς ἑκάστου, ἠναγκάσθην πλείονα εἰπεῖν, ὅπως εὐπαρακολούθητος αὐτῷ γένηται ἡ θεωρία. σοὶ δὲ ἐγὼ τῶν λεχθέντων τὰ κυριώτατα κεφάλαια ἐκλεξάμενος δι'*

5. *Ἑρμοῦ*] marg. B add. *ιέ.* || *τοῦ* om. B. 7. *ὄντων*] *ὅλων* B. 9. *υἱὸς καὶ* om. Patr. 12. *καιριώτατα* B.

Hermetis Trismegisti.

Asclepio recte sapere.

Quoniam filius meus Tat te absente entium voluit naturam discere, neque sivit me supersedere ut filius et iunior, nunc accedens ad notitiam eorum quae circa unumquodque, coactus sum plura dicere, ut bene sequax ei fieret contemplatio. tibi vero eorum quae

ὀλίγων ἠθέλησα ἐπιστεῖλαι, μυστικώτερον αὐτὰ ἑρμηνεύ-
σας, ὡς ἂν τηλικούτῳ καὶ ἐπιστήμονι τῆς φύσεως.
Εἰ τὰ φαινόμενα πάντα γέγονε καὶ γίνεται, τὰ δὲ 2
γεννητὰ οὐχ ὑφ' ἑαυτῶν ἀλλ' ὑφ' ἑτέρου γίνεται, πολλὰ
δὲ γεννητά, μᾶλλον δὲ πάντα τὰ φαινόμενα καὶ πάντα
τὰ διάφορα καὶ οὐχ ὅμοια, γίνεται δὲ ὑφ' ἑτέρου τὰ γι-
νόμενα, ἔστι τις ὁ ταῦτα ποιῶν, καὶ οὗτος ἀγέννητος καὶ
πρεσβύτερος τῶν γεννητῶν. τὰ γὰρ γεννητά φημι ὑφ'
ἑτέρου γίνεσθαι, τῶν δὲ γεννητῶν ὄντων ἀδύνατόν τι
πρεσβύτερον πάντων εἶναι, ἢ μόνον τὸ ἀγέννητον. οὗτος 3
δὲ καὶ κρείττων καὶ εἷς καὶ μόνος ὄντως σοφὸς τὰ πάντα,
ὡς μὴ ἔχων μηδὲν πρεσβύτερον. ἄρχει γὰρ καὶ τῷ πλή-
θει καὶ τῷ μεγέθει καὶ τῇ διαφορᾷ τῶν γενομένων καὶ
τῇ συνεχείᾳ τῆς ποιήσεως καὶ τῇ ἐνεργείᾳ. ἔπειτα δὲ τὰ
γεννητὰ ὁρώμενά ἐστιν, ἐκεῖνος δὲ ἀόρατος. διὰ τοῦτο
γὰρ ποιεῖ, ἵνα ἀόρατος ᾖ. ἀεὶ οὖν ποιεῖ· ἀόρατος τοι-
γαροῦν ἐστιν. οὕτως ἄξιόν ἐστι νοῆσαι καὶ νοήσαντα

3. *Εἰ* om. Patr. 4. ἑαυτῶν] sic AB Patr., ἑαυτοῦ ceteri. 5. γενητά B, et sic porro. 7. καὶ post ἀγέννητος] sic Patr., ἵν' ᾖ ceteri. 14. καὶ τῇ ἐνεργείᾳ] sic Patr., om. reliqui. 16. ἵνα ἀόρατος ᾖ] ἵνα ὁρατὸς ᾖ Patr. 16. 17. ἀόρατος τοιγαροῦν om. Patr. 17. ἐστιν om. A Patr. || οὕτως om. AB.

dixi principalissima capita selegens paucis volui mittere, mystice magis ea interpretatus, iam provecto aetate et scienti rerum naturae.

Si quae apparent omnia facta sunt et fiunt, genita vero non a se ipsis sed ab alio fiunt, si multa sunt genita, vel potius omnia quae apparent et omnia quae inter se differunt neque sunt similia, si quae fiunt ab alio fiunt, est ergo aliquis qui haec facit, et iste ingenitus et senior genitis. genita enim aio ab alio gigni, cumque genita sint entia, impossibile est aliquid senius omnibus esse, nisi solum ingenitum. factor vero potentior et unus et solus re vera sciens cuncta, utpote qui nihil habeat antiquius. imperat multitudini magnitudini differentiae genitorum, continuitati facturae et efficaciae. deinde genita quae sunt cernuntur, ille vero invisibilis est; ob id enim facit, ut invisibilis sit. semper ergo facit; invisibilis est

θαυμάσαι καὶ θαυμάσαντα ἑαυτὸν μακαρίσαι, τὸν γνήσιον πατέρα γνωρίσαντα.

4 Τί γὰρ γλυκύτερον πατρὸς γνησίου; τίς οὖν ἐστιν οὗτος καὶ πῶς αὐτὸν γνωρίσομεν; ἢ τούτῳ τὴν τοῦ θεοῦ προσηγορίαν μόνῳ δίκαιον ἀνακεῖσθαι, ἢ τὴν τοῦ ποιητοῦ, ἢ τὴν τοῦ πατρός, ἢ καὶ τὰς τρεῖς; θεὸν μὲν διὰ τὴν δύναμιν, ποιητὴν δὲ διὰ τὴν ἐνέργειαν, πατέρα δὲ διὰ τὸ ἀγαθόν. δύναμις γάρ ἐστι διάφορος τῶν γενομένων, ἐνέργεια δὲ ἐν τῷ πάντα γίνεσθαι. διὸ τῆς πολυλογίας τε καὶ ματαιολογίας ἀπαλλαγέντας χρὴ νοεῖν δύο ταῦτα, τὸ γινόμενον καὶ τὸν ποιοῦντα. μέσον γὰρ τούτων
5 οὐδὲν οὐδὲ τρίτον τι. πάντα οὖν νοῶν καὶ πάντα ἀκούων τῶν δύο τούτων μέμνησο· καὶ ταῦτα εἶναι νόμιζε τὰ πάντα, μηδὲν ἐν ἀπορίᾳ τιθέμενος μὴ τῶν ἄνω, μὴ τῶν κάτω, μὴ τῶν θείων, μὴ τῶν μεταβλητῶν ἢ τῶν ἐν μυχῷ. δύο γάρ ἐστι τὰ πάντα, τὸ γινόμενον καὶ τὸ ποιοῦν, καὶ διαστῆναι τὸ ἕτερον ἀπὸ τοῦ ἑτέρου ἀδύνατον· οὔτε γὰρ τὸν ποιοῦντα χωρὶς τοῦ γινομένου δυνατὸν εἶ-

1. 2. γνήσιον] sic Patr., om. reliqui. 5. μόνῳ] μόνον Fluss. 5. 6. ἢ τὴν τοῦ ποιητοῦ, om. Patr. 12. καὶ πάντα ἀκούων om. Patr. 15. μὴ τῶν θείων om. Patr. 17. ἀπὸ om. AB. || ἀδύνατον] sic AB, οὐ δύναται editi. 18. οὐδὲ A.

igitur. ita dignum est intelligere, intelligendo admirari, admirando se ipsum beatum putare, germanum patrem cognoscentem.

Quid enim dulcius patre germano? quis ergo is est et quomodo eum cognoscemus? vel huic dei cognomen soli iustum est imponere, vel factoris vel patris vel etiam horum trium? deum quidem ob potentiam, factorem ob actionem, patrem vero ob bonum. potentia namque est differens a genitis, actio vero eo, quod omnia fiant. atque ideo loquacitate et vaniloquentia omni abiectis oportet intelligere duo haec, factum et facientem. medium namque horum nihil neque tertium aliquid. omnia igitur intelligens et omnia audiens duorum horum memento; et haec puta esse cuncta, nihil in dubio ponens eorum quae supra, nec eorum quae infra, neque divinorum, neque eorum quae mutantur, nec quae sunt in abdito. duo namque sunt cuncta, factum et faciens, nec secerni alterum ab altero pot-

ναι, οὔτε τὸ γινόμενον χωρὶς τοῦ ποιοῦντος· ἑκάτερος
γὰρ αὐτῶν αὐτὸ τοῦτό ἐστι· διὸ οὐκ ἔστι τὸ ἕτερον τοῦ
ἑτέρου χωρισθῆναι, ὥστε οὐδ' αὐτὸ ἑαυτοῦ.

Εἰ γὰρ ὁ ποιῶν ἄλλο οὐδέν ἐστιν ἢ τὸ ποιοῦν 6
μόνον, ἁπλοῦν, ἀσύνθετον, ποιεῖν ἀνάγκη τοῦτο αὐτὸ
ἑαυτῷ· ὅτι γένεσίς ἐστι τὸ ποιοῦν τοῦ ποιοῦντος· καὶ
πᾶν τὸ γινόμενον ἀδύνατον ὑφ' ἑαυτοῦ γινόμενον εἶναι.
γινόμενον δὲ ὑφ' ἑτέρου ἀνάγκη γίνεσθαι. τοῦ δὲ ποι-
οῦντος ἄνευ τὸ γεννητὸν οὔτε γίνεται οὔτε ἔστι. τὸ γὰρ
ἕτερον τοῦ ἑτέρου ἄνευ ἀπώλεσε τὴν ἰδίαν φύσιν στερή-
σει τοῦ ἑτέρου. εἰ τοίνυν δύο ὡμολόγηται τὰ ὄντα, τό
τε γινόμενον καὶ τὸ ποιοῦν, ἕν ἐστι τῇ ἑνώσει, τὸ μὲν
προηγούμενον, τὸ δὲ ἑπόμενον. προηγούμενον μὲν ὁ
ποιῶν θεός, ἑπόμενον δὲ τὸ γινόμενον, ὁποῖον ἂν ᾖ.
καὶ μὴ διὰ τὴν ποικιλίαν τῶν γινομένων φυλάξῃ φοβού- 7
μενος ταπεινότητα καὶ ἀδοξίαν τῷ θεῷ περιάψαι. μία

1. οὔτε τὸ γινόμενον χωρὶς τοῦ ποιοῦντος.] sic marg. B Tied., om. ceteri. 3. ὥστε οὐδ'] sic Patr., ἀλλ' ceteri. 6. ὅτι] sic B, ὡς A, ᾧ ceteri. || ἐστι] δὲ A. || τὸ ποιοῦν τοῦ om. Patr. 11 — p. 132 v. 6. Cyrillus in Julian. lib. II p. 63. 64 Spanh. 11. τὰ ὄντα] sic Cyr., om. reliqui. 14. ὁποῖον] ὅτι Cyr. 15. 16. ante φοβούμενος AB Turn. Fluss. add. ὁ. 16. ante ταπεινότητα Turn. Fluss. Patr. add. μή. || περιάψαι] sic Cyr., περιάψῃ B, περιάψῃς reliqui.

est; neque enim genitorem absque genito esse possibile est, neque genitum absque genitore; utrumque enim illorum id ipsum existit. ideo non potest alterum ab altero separari, neque ipsum a se ipso.

Nam si factor nihil aliud est nisi faciens solum, simplex, incompositum, facere necesse est hoc ipsum sibi ipsi; quia generatio est faciens facientis; et omne factum a se ipso fieri nequit. factum autem ab alio necesse est gigni. absque factore genitum neque gignitur neque est. alterum enim absque altero amisit propriam naturam alterius privatione. si ergo duo concessa sunt, id quod fit et quod facit, unita quidem sunt invicem, alterum praecedens, alterum consequens. praecedens quidem factor deus, consequens vero id quod fit, qualecumque fuerit. neque ob varietatem eorum

γάρ ἐστιν αὐτῷ δόξα, τὸ ποιεῖν τὰ πάντα, καὶ τοῦτό ἐστι τοῦ θεοῦ ὥσπερ σῶμα, ἡ ποίησις· αὐτῷ δὲ τῷ ποιοῦντι οὐδὲν κακὸν οὐδ' αἰσχρὸν νομιζόμενον. ταῦτα γάρ ἐστι τὰ πάθη τὰ τῇ γενέσει παρεπόμενα, ὥσπερ ὁ ἰὸς τῷ χαλκῷ, καὶ ὁ ῥύπος τῷ σώματι. ἀλλ' οὔτε ἰὸν ὁ χαλκουργὸς ἐποίησεν, οὔτε τὸν ῥύπον οἱ γεννήσαντες, οὔτε τὴν κακίαν ὁ θεός· ἡ δὲ τῆς γενέσεως διαμοιβὴ καθάπερ ἐξανθεῖν ποιεῖ, καὶ διὰ τοῦτο ἐποίησε τὴν μεταβολὴν ὁ θεός, ὥσπερ ἀνακάθαρσιν τῆς γενέσεως.

8 *Εἶτα τῷ μὲν αὐτῷ ζωγράφῳ ἔξεστι καὶ οὐρανὸν ποιῆσαι καὶ θεοὺς καὶ γῆν καὶ θάλασσαν καὶ ἀνθρώπους καὶ τὰ ἄλογα πάντα καὶ τὰ ἄψυχα καὶ τὰ δένδρα, τῷ δὲ θεῷ ἀδύνατον ταῦτα ποιεῖν; ὢ τῆς πολλῆς ἀνοίας καὶ ἀγνωσίας τῆς περὶ τὸν θεόν· τὸ γὰρ πάντων δεινότατον*

6. *οἱ γεννήσαντες*] sic Cyr. qui hic desinit, *ὁ ποιητὴς γεγέννηκεν* (*ἐγέννησεν* B) libri. 7. *διαμοιβὴ*] sic Patr., *ἐπιδιαμονὴ* B, *διαμονὴ* reliqui. 10 — p. 134 v. 5. *κίνησιν.*] Cyrill. in Julian. lib. II p. 64 Spanh. 11. *καὶ θεοὺς* om. Cyr. et infra post *θάλασσαν* habet *ταῦτα καὶ θεούς*. 12. *πάντα* om. Patr. || *καὶ τὰ δένδρα*] sic Patr., om. reliqui. 13. *ταῦτα*] *πάντα* Cyr. 14. *δεινότατον*] sic Cyr., *γελοιότατον* Patr., *καινότατον* reliqui.

quae fiunt caveas, ne humilitatem et infamiam deo tribuas timens. una enim eius gloria est, facere cuncta, et hoc est dei veluti corpus, ipsa factio; ipsi vero factori nihil malum aut turpe est imputandum. hae enim passiones sunt generationis comites, sicuti aerugo aeris et limus corporis. sed neque aeruginem faber fecit, neque limum factores, neque malum deus; sed generationis vicissitudo veluti effluere facit, et ob hoc fecit mutationem deus, quasi purgationem generationis.

Praeterea eidem pictori licet et caelum facere et deos et terram et mare et homines et bruta omnia et inanimata et arbores, deo autem impossibile sit haec facere? o multam amentiam et ignorationem eorum quae dei sunt; nam omnium gravissimum patiuntur isti.

πάσχουσιν οἱ τοιοῦτοι. τὸν γὰρ θεὸν φάσκοντες εὐσεβεῖν
τε καὶ εὐλογεῖν, τῷ μὴ τὴν τῶν πάντων ποίησιν αὐτῷ
ἀνατιθέναι, οὔτε τὸν θεὸν ἴσασι· πρὸς δὲ τῷ μὴ εἰδέναι
καὶ τὰ μέγιστα εἰς αὐτὸν ἀσεβοῦσι, πάθος αὐτῷ περιτι-
θέντες ὑπεροψίαν ἢ ἀδυναμίαν ἢ ἄγνοιαν ἢ φθόνον·
εἰ γὰρ μὴ πάντα ποιεῖ, ὑπερηφανῶν οὐ ποιεῖ ἢ μὴ δυ-
νάμενος ἢ ἀγνοῶν ἢ φθονῶν· ὅπερ ἐστὶν ἀσεβές.

Ὁ γὰρ θεὸς ἓν μόνον πάθος ἔχει, τὸ ἀγαθόν· ὁ δὲ 9
ἀγαθὸς οὔτε ὑπερήφανος οὔτε ἀδύνατος οὔτε τὰ ἄλλα·
τοῦτο γάρ ἐστιν ὁ θεός, τὸ ἀγαθόν, ᾧ πᾶσα δύναμις
τοῦ ποιεῖν τὰ πάντα· πᾶν δὲ τὸ γεννητὸν ὑπὸ τοῦ θεοῦ
γέγονεν, ὅπερ ἐστὶν ὑπὸ τοῦ ἀγαθοῦ καὶ τοῦ τὰ πάντα
δυναμένου ποιεῖν. εἰ δέ, πῶς μὲν αὐτὸς ποιεῖ, πῶς δὲ
τὰ γινόμενα γίνεται, βούλει μαθεῖν, ἔξεστί σοι· ἰδὲ εἰκόνα 10
καλλίστην καὶ ὁμοιοτάτην, γεωργὸν σπέρμα καταβάλλοντα

1. 2. *εὐσεβεῖν τε καὶ*] sic Cyr., om. reliqui. **3.** *ἴσασι*] sic Cyr., *οἴδασι* reliqui. **4.** *πάθος*] sic Cyr., *πάθη* reliqui. **5.** *ἢ ἄγνοιαν ἢ φθόνον*] sic Patr., om. reliqui. **6.** *ὑπερηφανῶν οὐ ποιεῖ*] sic Cyr., *ἢ ὑπερήφανός ἐστιν* reliqui. **7.** *ἢ ἀγνοῶν ἢ φθονοῦν* (lege *φθονῶν*)] sic Patr., om. reliqui. **9.** *οὔτε τὰ ἄλλα*] sic Patr., om. reliqui. **10.** post *τὸ* libri add. *γάρ*, om. Cyr. || *ᾧ*] sic Cyr., *ᾗ* reliqui. **13.** *εἰ δέ*] sic Cyr., *ἰδέ* reliqui. **14.** post *γίνεται* libri add. *καὶ εἰ*, om. Cyr. || *ἰδὲ*] sic Cyr., *ἰδεῖν* reliqui. **15.** ante *γεωργὸν* libri add. *ἰδὲ*, om. Cyr. || *σπέρματα* B.

cum enim deum venerari se et laudare dicant, quia ei non tribuant omnium efficientiam, neque deum sciunt; et praeterquam non norunt etiam maxime in eum sunt impii, passiones ei tribuentes superbiam vel impotentiam vel ignorantiam vel invidiam. nam si non facit cuncta, vel superbiens non facit vel impotens vel ignorans vel invidens. quod quidem impium est.

Deus enim unam solam passionem habet, ipsum bonum; bonus vero neque superbus neque impotens neque alia. hic enim deus, id est bonum, cui universa potentia est faciendi omnia; omne autem genitum a deo genitum est, id est a bono et potenti cuncta facere. si quidem, quomodo ipse faciat et quomodo facta fiant, vis discere, licet tibi. vide imaginem pulcherrimam et simillimam, agricolam semen iacientem in terram, alicubi frumentum, alicubi vero hordeum,

εἰς τὴν γῆν, ὅπου μὲν πυρόν, ὅπου δὲ κριθήν, ὅπου δὲ ἄλλο τι τῶν σπερμάτων. ἰδὲ τὸν αὐτὸν ἄμπελον φυτεύοντα καὶ μηλέαν καὶ συκὴν καὶ τὰ ἄλλα τῶν δένδρων· οὕτως ὁ θεὸς ἐν μὲν οὐρανῷ ἀθανασίαν σπείρει, ἐν δὲ γῇ μεταβολήν, ἐν δὲ τῷ παντὶ ζωὴν καὶ κίνησιν. ταῦτα δὲ οὐ πολλά ἐστιν, ἀλλ' ὀλίγα καὶ εὐαρίθμητα· τὰ γὰρ πάντα τέσσαρά ἐστι, καὶ αὐτὸς ὁ θεὸς καὶ ἡ γένεσις, ἐν οἷς τὰ ὄντα ἐστίν.

1. *πυρρόν* B. 3. *καὶ συκὴν*] sic Patr., om. reliqui. 5. *κίνησιν.*] desinit Cyrillus. 7. *καὶ* ante *αὐτὸς* om. Patr. 8. *ὄντα*] *πάντα* Patr.

alicubi aliud e seminibus. intuere eundem dum vitem plantat et malum et ficulneam et alias arbores; ita deus in caelo immortalitatem seminat, in terra mutationem, in universo vitam et motum. haec autem non multa sunt, sed pauca et facilia ad numerandum. omnia namque sunt quattuor, ipse deus et generatio, in quibus omnia quae sunt existunt.

Gedruckt bei A. W. Schade in Berlin, Grünstr. 18.

129134

Hermes Trismegistus